Ш, ш (Ша = Γλ. cha, Γερμ. sch, σσιά) = σ, κ, χ (λτ. ch), = σκ (Щ) = ξ· ἐπεὶ δὲ ι =π, ἔςι ш καὶ=σπ, πσ (ψ), βλ. καὶ Шкáфъ. Τὸ Ш φαίνεται τὸ αὐτὸ καὶ τὸ ἑλληνικὸν Σ ὕπτιον κείμενον ὅτω Ѡ, Ш (καὶ μετὰ γραμμῆς ὑποκειμένης πρὸς τὴν βάσιν, Щ), ὡς καὶ τὸ ἑβραϊκ. καὶ φοινικικὸν schin ש (πρὸς ὃ παραβάλλεται καὶ τὸ Ξ ὕπτιον), ὅθεν καὶ ἐν πολλαῖς λέξεσι Σλαβονικαῖς γράφεται щ ἀντὶ с, καὶ τῦτο ἀντ' ἐκείνυ, οἷον пишу̀, писáть. καὶ ἡ λήγυσα δὲ τῶν εἰς шу ῥημάτων ἀναλογεῖ ἀκριβῶς πρὸς τὴν τῶν εἰς σσω ἑλληνικῶν οἷον Рýшу = ῥύσσω (ὀρύσσω), κτλ. καὶ ἄλλως δὲ οὐ πάνυ πολλαὶ λέξεις τῶν Σλαβονικῶν διαλέκτων ἄρχονται ἐκ τῦ ш. Ἔςι τοίνυν τὸ ςοχεῖον αὐτὸ τὸ Σ μετὰ πυκνοτέρυ καὶ δασύτητί τινι συνεφθαρμένυ συριγμῦ προφερόμενον· καθὰ καὶ τὸ ἐκ τῦ Ἑλληνικῦ σ μορφωθὲν Κοπτικὸν 6 προφέρεται ὡς ш (sch)· ἀλλὰ καὶ τῆς Ἑλλάδος ἔςιν ὅπυ πάμπαν ἀγροῖκοί τινες κωμῆται σίζυσι τραχύτερον ἐκφωνῦντες τὸ σ ὡς ш, οἷον ποιὸш εἶшι шὺ βρὲ; = ποιὸς εἶσι (εἶσαι) σὺ βρέ; (τὸ δὲ βρὲ = μρὲ, συγκεκλασμένον ἐκ τῦ μωρὲ = ἀττικ. ὦ μῶρε μῶρε· ἀλλὰ τῦτο μὲν ῥεῖσον

ἐφ' ὕβρει· τὸ δὲ βρὲ παρὰ τοῖς ἀναγώγοις ἐνίοτε καὶ ὡς ἁπλῆ προσφώνησις, πρὸς μόνους μέντοι γε τοὺς ἥττονας, ὅταν ἢ μὴ εἰδῶσιν, ἢ μὴ βούλωνται λέγειν τὸ κύριον ὄνομα τοῦ ἀνδρὸς, ὃν ἂν καλοῖεν· ἐπὶ δὲ γυναικὸς χρῶνται τῷ μωρή). Τὸ δ' οὖν σίγμα δοκεῖ πως καὶ πάλαι προφέρεσθαι κατὰ διαλέκτων ἰδιώματα δυσηχέστερον, ἢ ὅσον ἔχει φύσει τὸν συριγμὸν (ὡς τὸ ш, καὶ τὸ ἑβραϊκὸν schin)· διὰ ταῦτ', ἴσως, καὶ Πίνδαρος ὠνόμασε τὸ γράμμα *κίβδαλον*, ὡς νόθον δηλαδὴ καὶ ξυνεφθαρμένον, ἢ καὶ πρὸς τὸ μέλος τὸ τῶν ᾠδῶν οὐ πάνυ τοι εὐάρμοστον ψόφον ἀπηχοῦν· ὅθεν καὶ αἱ ἄσιγμοι ᾠδαὶ (βλ. Ἀθήν Ι. 16, 21). Ἰστέον δὲ ὅτι πρὸ τῆς εὑρέσεως τοῦ Ξ ἔγραφον οἱ ἀρχαῖοι Ἀττικοὶ κσ, καὶ χσ (ὡς, ἐχς = ἐξ, χσυνάρχοντες, ἀνάχσιλα = ἀνάξιλα, ξυνάρχ. κτλ.). ὅθεν καὶ τὰ λτ. ἐν ἀρχαίαις ἐπιγραφαῖς, senexs, vixsit, κτλ. ἔστι γὰρ καὶ τὸ λτ. x = χ (= κh = ch), καὶ xs = χς = ξ· ὅθεν καὶ τοῦ σ ἐκπεσόντος διέμεινεν ὁ φθόγγος τοῦ ξ καὶ ἐν μόνῳ τῷ x, καθὰ καὶ παρὰ τοῖς Γάλλοις τὸ ch (= kh = χ), μεταπέπλασται εἰς τὸν παρ' αὐτοῖς συνήθη συριγμόν· οὕτω γοῦν καὶ τὸ χς, ἢ chs, ῥᾷστ' ἂν μεταστραφείη εἰς τὸ Γρμ. sch, καὶ τὸ Σλαβον. ш. ὃ δὴ πάλιν προφανῶς ἀνταλλάσσεται καὶ πρὸς τὸ χ (ὡς, ўхо, ўши, κτλ.)· βλ. καὶ C, Ц, Щ.

Ша́гъ (*διάβημα, συνήθ. διασκέλισμα*). Шага́ю (*διαβαίνω, βηματίζω βήματα μακρὰ, συνήθ. διασκελίζω*), *σακκάω, σακκάζω* (= *καλπάζω ἐπὶ ἵππου, ὅθεν Γλ.* galoper, *Γτθ.* hlaupan, hlaufan, *Κτσξ.* lopen, hlop, galop, *λτ.* calupare, galupare)· „ *καλπάζει, ὀξυποδεῖ, σακκάζει. Ἡσύχ. ὅθεν Σ. σακτῶ, σακτίζω, σακτὸν* (*ἐλλειπτ. βάδισμα*)· *καὶ, τριποδίζω* = *λτ.* trepido, tripedo· *καὶ τρίποδος, τρίπηδος* (*δρόμος, ὁ διὰ κάλπης*)=*τριπηδῶ, τριπηδάω* (*ἐκ τῆ πηδῶ, πῆδος*). *Ἀλλὰ τὸ μὲν τριποδίζω κυρίως*=*Γλ.* galoper, *τὸ δὲ καλπάζω κυρίως* =trotter, *καὶ ἡ κάλπη*=trot (*σακτὸν, τουρκικ.* lengleme)=*Πολ.* Шла́пь. *τὸ δὲ τρίπηδον*=galop (*συνήθ. εἰς τὰ τέσσαρα, τουρκικ.* kossi = *δρόμος*), *βλ.* Рысь. *τὸ δ' αὖ σακκάζω, σακκίζω ἐπαμφοτερίζει*· (*παρὰ τὸ σάκκος, σακκίζω*= *διηθῶ, σακκελίζω, ϛραγγίζω, ὅθεν μεταφ.* = *τριποδίζω· ἡ δὲ μεταφορὰ ἀπὸ τοῦ ἐῤῥύθμου ἤχου τῆ κατὰ ϛράγγα πίπτοντος ὑγροῦ, ὡς τὸ λτ.* guttatim ire, *κατὰ τὸ, ἀπολιβάζω, βλ. Ῥείμερ λ. ὑποσακκίζω*). *τὸ δὲ Ἀραβικ. καὶ Τουρκ.* sach = *ὀρθὸς, ἐπὶ ἵππου ὀρθοϛάδην ἀνιϛαμένου* (*χυδαίως, σούζα, καὶ σλοῦζα· τῆτο δ' ἐκ τῆ* Служу̀, Слу́жь, *ὡς λέγουσι καὶ οἱ Ῥῶσσοι πρὸς τὰ κυνάρια διδάσκοντες αὐτὰ ὀρθοϛατεῖν*), *πάντη διάφορον τῆ* Ша́гъ.

Шалю̀ (*μωραίνω, μαίνομαι*). Шалу̀нъ, *καὶ* Ша́ль (*μωρὸς, παράφρων*) = *σαλὸς, σάλω,*

σαλέω, -λεύω = ζάλος καὶ ζάλη, ζαλαίω-νω „ ζαλαίνει, μωραίνει. (Ἡσύχ.), καὶ ζαλίζεται, ζαλισμένος, ἐν τῇ συνηθ.

Шáкаю (ἐπὶ φωνῆς νησσῶν) ὀνοματοποιΐα, ὡς, κακάω, κοκάω, -κάζω.

*Шандáль, τὸ τουρκ. chandan, συνήθ. κανδηλέριον (= κηροπήγιον). πρβλ. Γλ. chandelle (κηρίον, λαμπὰς) = λτ. candella, Σ. κανδήλα (κάνδω, καίω).

*Шараварь, τὰ σαράβαρα, καὶ σαράβαλλα, καὶ σαράπαρα (Γρφ.), λέξις ἀσιανὴ (ὡς καὶ ἡ ἀναξυρὶς ἐκ τοῦ Περσ. Τουρκ. τσαξύρ), αὐτὸ τὸ Τουρκικ. σαλβάρ, Οὐγκρ. schariwari. [σαράβαρα εἶπον ἔτι καὶ οἱ ἡμέτεροι εἶδος ὑποδημάτων, κατὰ τὸ ὁμοίως ἐσχηματισμένον, περίβαλα, καὶ περίβαρα, περιβαρίδες, εἶδος γυναικείων ὑποδημάτων (Ἀριστφν. Λυσιστρ. εἰ μή γε τοῦτο, ὡς τὸ εὐμαρὶς, -μαρίδες, οἷον περιμαρίδες· μ = β). ὡς πάλιν ἀντὶ τοῦ, σαράβαρα, εἶπον καὶ, τὰ περισκελῆ (= βρακία, βράκαι). Περισκελιστὰς δὲ ἑρμηνεύει ὁ Στράβων καὶ τοὺς Σαραπάρας, ἔθνος Θρᾳκῶν, (ὡς ἂν εἴποιμεν συνήθ. σαλβάρας, σαλβαράδας, σαλβαράτους). τοὺς δ' αὐτοὺς μεταφράζει καὶ, κεφαλοτόμους, ἢ ἀποκεφαλιστὰς, κατ' ἄλλην ἔννοιαν τοῦ περισκελιστής. βλ. Ῥείμ. λ. περισκελιστής].

Шáркаю (κροτῶ ἐν τῷ βαδίζειν), ὡς τὸ (καρκάω) καρκαίρω. ἀλλ' ἴσως συγγεν. τοῦ Шáрю.

Шáрпъ, ὅθεν τὸ Πολ. szarpać = κάρπω, λτ. carpo = ἅρπω (ἁρπάζω) = ῥάπω, λτ. rapio, Γρμ. raffen, rupfen, rauben.

Шáрю (ἐρευνῶ ψηλαφῶν)=ψάρω, ψαίρω· ἐκ τῦ ψάω, ψαύω (ψάφω· φ=χ· ὅθεν) τὸ συνήθ. ψάχω, ψάχνω, καὶ τὸ (ψήλω), ψηλαφῶ κτλ. ψ = σ (= ш), ὡς, σίζω, ψίζω, ψύζω, ττω, ψύττα, σίττα· σίω = ψίω. Πάφιοι (Ἡσύχ.). Οὕτω καὶ ἐκ τῦ ψιττακὸς, ψιττάκη, τὸ, σιττάκη, σίτταχος, παρ' ὃ τὸ τῦ μς λτ. citacus, Γρμ. Sittich, καὶ τὰ ἔτι διεφθαρμένα, Sibcust, Sickust, Sitcust. ἡ δὲ Σ. ἔτρεψε τὸ ψ εἰς τσ, ἐν τῷ τσευδὸς, ἢ τζευδὸς, τζευδίζω (τραυλίζω, ψελλίζω), ἐκ τῦ ψευδὸς (=ψευδὴς, ὡς, ψυδὴς, δὸς· καὶ εὐτενὸς= εὐτενὴς), ψευδίζω (ἐκ τῦ ψεύω, ψέω, ὅθεν καὶ τὸ ψέλω, ψελλὸς)· ὐ γὰρ οἶμαί γ', ὅ τινες εἶπον, τὸ τζευδὸς = ἰσχαύδης.

Шатáю (κλονῶ, ταράσσω, Шатáюся,-таюсь, φρυάσσω, ταράσσομαι, ὡς ἐκ τῦ Шатỳ), σάτω = σάθω, σήθω, (σάω, σέω, σείω, σύω) „ Шатáшася языцы (ἐφρύαξαν ἔθνη)=σάθασαν σφὲ (se) ἰάζυγες (βλ. Языкъ). ἢ καὶ (ш=ψ) ψάθω, ψέθω, ψέδω (ὀνοματοποιΐα ἤχου· Шатанie, Σρβ. Шетанie=φρυαγμὸς).

Швырáю (ῥίπτω), σπείρω. ἢ σϝύρω· ἢ=Вергáю?

Шевелю (ςρέφω, κινῶ), σαυλέω,-λῶ, σαλέω, σαλεύω (υ = β· σαλέβω, μεταθ. σαβέλω).

Шедỳ, σέθω (θ=δ), σύθω, σύω, -ομαι (εἶμι,

πορεύομαι). ἢ=(Ходу̀), Хожу̀, Хождỳ (ш=χ), βλ. Шéствую.

Шéлкъ (μέταξα, καὶ Шúкъ ἐν ἀρχ. κώδηξ.), 'Αγγλ. silk, Σβ. silke, 'Αγγσξ. seolk, συγκοπ. ἐκ τῦ λτ. sericum, τὸ σηρικὸν (ρ = λ. ἐνταῦθα ἴσως ἀνήκει καὶ τὸ παρ' 'Ιλλυρ. Свила ἀντὶ CFилка, κατ' ἔκπτωσιν τῦ к, ὡς ἐν τῷ Шикъ, τοῦ λ). τὸ δὲ Κρν. καὶ Λυσ. Жида καὶ Πολ. jedwab, ἐκ τῦ Γρμ. Seide, Κτσξ. side, 'Ιτ. seda, Γλ. soye, μσ. λτ. seta (θρὶξ, ἴσως ἐκ τῦ χαίτη).

Шелухà (λέπυρον, λεπὶς), ξυλικὴ, λτ. siliqua.

Шепеляю (σεπέλω· παρενθ. ε, ἀντὶ σπέλω) = πσέλλω, ψέλλω, ψελλίζω.

Шепчỳ - шáть (ψιθυρίζω· ὡς Шептỳ) σέπτω, ἀντὶ, πσέθω, πσέδω, ψέδω, ψέζω (πσέζω, σέπζω), ψίζω, ψύζω, ψύθω, ψῦθος, ψίθυρος, ψιθυρίζω, ψυδὼν, Шептýнъ, ψῦθος, Шéпотъ (ψιθυρισμὸς· ψίω, ψέω, θω, θ=φ, ψέφω, ψόφος, κτλ.)· καὶ τὸ Γλ. shuchote (ter) = συσίδω, ἀντὶ (θ = σ) ψυθίδδω, ψυθίζω καὶ ψιθύζω, ψίθυρος, ψυθιςὴς, καὶ ψιθυςὴς (ψυθιτὴρ, ψυσιτὴρ)=schuchoteur· ἡ δὲ Σ. τ' ἀνάπαλιν κατ' ἀναδίπλωσιν καὶ διάλυσιν τῦ ψ λέγει ψυψυρίζω, τὸ ψιθυρίζω (θ = σ ψυσιρίζω) = πσυπσυρίζω, καὶ μεταθ. (ἐν Θεσσαλίᾳ) πυσπυρίζω (ἀντὶ σπυσπυρίζω), καὶ πυσπύρισμα τὸ ψυθίρισμα (υ=υ), καὶ Γρμ. 'zischeln=σίζειν, ψίζειν (τὰ πάντα ὀνοματοποιῦα). βλ. καὶ Шáрю.

Шере́нга (τάξις 'ςρατιωτῶν), ξενικὸν· ὁ γὰρ= σειρὶν, ῖνος, σειρῖνϜα, σειρὶς, σειρά.

Ше́рохъ (ἀνώμαλος ἐπιφάνεια σώματος, τραχύτης). Шеро́шу (τραχύνω), σχέρος, σχερὸς, σκεῤῥὸς, σκεῤῥόσσω - όω (σχερὸς, σκερὸς, σκιρὸς, σκυρὸς, σκίῤῥος = ξερὸς, ξηρὸς βλ. 'Ρείμερ.). βλ. Ше́рстъ, Щеркъ. [ἐςι γὰρ ш = щ (καθὰ καὶ σ = ξ), ὡς δ' αὔτως καὶ ч = щ = ξ = τζ, διὸ καὶ Σ. τζατζάρα (παρὰ Πελοποννησίοις, τὸ ἀραιὸν κτένιον) = ξυσσάρα, - στάρα, ἀντὶ ξύςρα. κτλ.].

Ше́рстъ 'Ρωσσ. (μαλλὸς, ἔριον, ἵππου θρὶξ.) ἴσως ἐκ τῦ θρὶξ (θρὲξ, θὲρξ, ξ = στ. βλ. Ше́стъ· καὶ θ = σ = ш), Βμ. srst, Πλ. sierć, κτλ. ἢ γοῦν, σ-έρος, σ-έρος = (ἔρος), εἶρος, ἔριον, Γρ. Haar. [τὸ δὲ λτ. hirtus hirsutus, ὁ δασὺς, συγγενὲς τῦ χὴρ, χηρὸς, her, heres, herinaceus, ἐκ τῦ χάρω, χέρω (χέῤῥω) = horreo (ὅθεν χερὰς, χέῤῥος), χέρσος, σχερὶς, καὶ σχῦρος, συγγεν. χοῖρος. βλ. Щеркъ. ἡ ἰδέα ἐμφαίνει τραχύτητα].

Ше́ствую (πορεύομαι, ὁδεύω), ἐκ τῦ Шедъ, σύθω, σύθομαι (σύω, σεύω, σεύομαι, σόω σόω, σόϜω, σοβέω). ἐκ τῦ Шеду̀ παράγουσι καὶ τὸ Хожду̀, Хожу̀ (Δοβρόβ. σελ. 103. ш = χ.). βλ. καὶ Хожду̀.

Шесто̀къ (ἡ πρὸ τῦ φύρνυ ἐξέχουσα ἐσχάρα, ἔνθα πολλάκις ἅπτυσι καὶ πῦρ. φαίνεται ἐκ τῦ Сѣду̀, ῦ τὸ ἀπαρέμφ. Сѣстъ=σ-έσθω,

ἔξω, ὅθεν καὶ) ἑςὸς (σ-εςὸς, σ-εςὸξ, Шестокъ), παρ' ὃ τὸ ἑςία (λτ. vesta), ἐξ ὃ ἡ Σ. πυρεςία, ἢ ὀρθότερον, παρεςία (παρὰ, ἑςία), καὶ παραςιὰ (κυρίως τὸ παρὰ τὴν ἑςίαν ἐξέχον περιθόριον, ἔπειτα δὲ καὶ αὐτὴ ἡ ἑςία, ἢ καὶ ἄλλως, ὡς ἐκ τῦ σχήματος, γωνία, γωνιὰ, καὶ παρὰ Πελοποννησ. φωτογωνιὰ)· ὡς καὶ πάλιν, πυροςία (πῦρ, ἑςία) πυροςιὰ (ἢ καὶ ἄλλως σιδηροςιὰ)=τρίπυς ἐφ' ὃ ὁ λέβης τίθεται ἐπὶ τῦ πυρὸς· καὶ (παρὰ τοῖς Ποντικοῖς), ἐμπροςία (ξύλων κρατευτὴς).

Шестъ (κοντὸς, λτ. contus, Σ. κοντάριον, κονταρίδα) = ξεςὸν (ξέω, ξέσω, Чешу). βλ. Цеста.

Шесть (ἕξ), σ-ἑξ (μετὰ τοῦ πνεύματος· ὡς σεπτὰ. βλ. Седмь· καὶ στ = ξ. βλ Осмь), Βμ. ssest, Πολ. szece, Βενδ. shest, scheschi, szesxy, Λετ. seschi — λτ. sex, Γρμ. sechs, ἀρχ. sachs, 'Ισλ. siax, 'Ολ. ses, 'Αγγ. six, Γλ. six, 'Ισπ. seis, Σνσκρ. schasche, Περ. schéssch, 'Εβρ. шешъ, κτλ. Шестый λτ. sextus, ἕκτος. Шестерю (ἑξάζω, ἑξάκις ποιῶ τι), συνήθ. ἑξαρίζω, κτλ. [Τίνα δ' ἄν τις εἶναι φαίη τὴν ἰδέαν ἢ τὴν καθόλυ σημασίαν τῦ ἕξ; εἰ μὲν γὰρ τὔνομα τῦ ἀριθμῦ παρὰ τὸ ἔχω, ἴσχω (κρατῶ), δῆλον δήπυ τὸν ἕξ, ἕξιν, ἤτοι ἰσχὺν καὶ κράτος ἀπολύτως ἐμφαίνειν, ὡς διπλάσιον ὄντα τῦ τρεῖς, ὃν παρὰ τῦ τρέω = δρέω, δράω, εἰκάζομεν

εἶναι (*βλ.* Трй). *Εἴη δ' ἂν μᾶλλον παρὰ τὸ ἔχω=ἔκω* (= *ἔπω, ἕπω, -ομαι*), *οἷον ἑκὸς ἢ ἑξὸς* (*ἑξὸς, ξὴ, ξὸν, ὅθεν τὸ ἑξῆς*), *ἑξείης ἐφεξῆς ἐχόμενος τῦ πέντε, ὃν εἰκὸς ἀριθμεῖσθαι τὸ πρῶτον ἐπὶ τοῖς πέντε δακτύλοις τῆς χειρὸς, τῦ δὲ πέντε τύτοις συναπαριζομένυ, ἐχομένως ἕπεται ὁ ἕξ,* (*τοιῦτό δή τι φαίνεται εἰκάζων καὶ ὁ* Ed. S. *ἐν ταῖς εἰς Λεννέπ. σημειώσεσιν*). *Εἰ δὲ ταῦτα μὴ πείθει, ἄλλος τις ἀσφαλέστερον ἐτυμολογείτω.*

Шéя, *'Ρωσσ. καὶ* Шія *Σλαβ.* (*τράχηλος*) *ἴσως* = *σκύα, ἀντὶ σκύτα.* „ *σκύταν, τὸν τράχηλον Σικελοὶ* (*'Ησύχ.*), *ἐκ τῦ σκύω=κύω, κύβω, κεύθω, κῦτος, κτλ. σκ* (*ξ*) = *σσ* = ш, *ὡς ἰξάλη, ἰσσάλη καὶ ἰσάλη, ἰσέλη. βλ. καὶ* Шýй.

Шй, *καὶ* Шйшъ (*ἐπίφθεγμα πρὸς ἀπέλασιν πτηνῶν*) *συνή̣θ. ξὶ, ξιοὺ* (*συγγ. ψὺ, ψὶτ, σὶτ, ψύττα, σίζω, σίττω, κτλ. βλ.* Цыцъ), *ὅθεν καὶ τὸ σύνηθ. ξυάζω, σκυάζω τὰ ὀρνίθια,* (*ἢ σκιάζω τῦτο, παρὰ τὸ σκιὰ*) = Шйкаю (= *ἀπελαύνω τὸ πτηνὸν λέγων ξιὸ, ξὶ,* Шй). *τὸ δὲ σοῦ, σοῦσθε* (*πρὸς τὰ πτηνὰ, Εὐριπδ. ἐν 'Ιων.*), *ἐκ τοῦ σέω, σόω, σύω.*

Шибáю (*βάλλω, ῥίπτω*), *ὅθεν* Прошибáти (*ἐπὶ φυτῶν, προβάλλειν φύλλα, ἀνθεῖν*) *ἴσ.*=Сыпáти (*χύω, χάω, σχάω*). *ἢ γὰρ=σύβω, σύϝω, σύω =θύω, θύρσος· ὕτω καὶ ἐκ τῦ κύμβω* (*κύπτω, κύβω, κύω, χύω*), *τὸ Σ. τσυμβῶ, ἐν συνθέσ.*

ἀνατσυμβᾶ, ἐξανατσύμβησεν (ἀνεκύμβησεν), ἀνέκυψε (μεταφορ. ἀπὸ ταπεινῦ ἀνόρθωσε καὶ αὐθαδιάζει. ἄλλο δὲ τὸ τσυμπῶ. βλ. Шиплю).

Шило (ὄπεας, ὀπήτιον), συνήθ. σϐβλίον, σϐβλα, καὶ β = γ, σύγλα, σϐγλίον, σαγγαροσϐγλιον, ἐκ τῦ λτ. (suo, σύω), subula, Γρμ. Suel, Souel, Subbel, Sugel, κτλ. ὡς καὶ τὸ Шило, ἐκ τῦ Шью, ὅθεν Шильничаю (ῥαδιουργῶ), καὶ Шильникъ (δολοῤῥάφος, ῥαδιουργὸς)· ὅτω μεταφ. καὶ τὸ χηλεύω (ῥάπτω. ἐκ τῦ χῆλον, χηλώτιον = ὀπήτιον, παρὰ τὸ χηλὴ, χάλω, χάω, σχάω), καὶ τὸ καττύω, καὶ τὸ ῥάπτω, καὶ τὸ πλέκω, καὶ τὸ λ. suere dolos = ῥάπτειν δόλϐς, κτλ.

Шипъ (ἀκανθῶδες ἰχθύδιον). Шипо́къ (ἄγριον ῥόδον=rosa canina), ὃκ οἶμαι συγγεν. σκίπω =νύσσω (οἷον σκὶψ, σκιπὸς), καὶ σκνίπω· ἀλλὰ μᾶλλον παρὰ τὸ Щиплю, Σ. τσυμπᾶ, τσυμπὶ.

Широ́кій, Широ́къ (πλατὺς). Ши́рю (πλατύνω) σύρω(ἐκτείνω „ ὁ χρυσὸς σύρεται. Στράβ.)συρτός. ἢ, σ-εὐρὸξ (-ρὸς), εὐρὺς, εὖρος, εὐρύνω?

Шиша́къ (περικεφαλαία), σκύσακ-ς, σκύσαξ, σκύσος, ἀντὶ σκύθος (ϑ = σ), σκύτος, καὶ (ϑ = φ), σκύφος, κύφος (πᾶν τὸ κοῖλον· ὅθεν καὶ κυφὴ (κεφαλὴ), κυφαία, ἡ συνηθ. σκϐφια (κυφία), καὶ ὁ σκῦφος (σκ = κσ = ξ = σσ = ш. βλ. Шея).

Ши́шка (ὄγκος, οἴδημα) ἴσ. χύσκα (ш = χ) ἀντὶ φύσκα, (φ=χ. ὡς, αὐφὴν, αὐχὴν. fundo,

fudo, φύ(δ)ω = χύω), ὡς, φύσκων, φύσκος, φυσκὸς, φυσκώδης (φυσκωτὸς, Σ. φȣσκωτὸς) Шишковáть. ἐκ τȣ̃ Шúшка καὶ τὸ χυδαῖον τῆς Σ. σȣ́σκα (οἴδημα). πρ́βλ. καὶ τὸ τȣρκ. schisch, schischman.

Шúшъ, 'Ρωσσ. σσὶ = ψὶ, ψς, ψὶτ [ἐπιφώνημα μετ' ἀνατάσεως ἅμα καὶ τȣ̃ λιχανȣ̃ δακτύλȣ πρὸς ἀποτυχίας ἔνδειξιν· ὅπερ εἰώθασι καὶ κατὰ τὴν 'Ελλάδα ἐπιφωνεῖν, καὶ μάλιστα αἱ τροφοὶ πρὸς τὰ παιδία, συγκάμπτȣσαι μικρὸν τὸν λιχανὸν, τῶν ἄλλων δακτύλων συγκεκλεισμένων. Ἔςι δὲ κυρίως αἰσχρὸν τὸ σχῆμα. ᾧ χρῶνται καὶ ἀνὰ τὴν ἄλλην Εὐρώπην καταμωκώμενοί τινος πρὸς ἀποτυχίαν (ὡς τὸ Γλ. figue = σῦκον, Γρμ. die Feige weisen· ὡς εἴ περ ἔλεγον "τȣ̃το λήψῃ ἀνθ' ὧν ἤλπισας). Ἐν δὲ τῇ 'Ελλάδι καὶ τὸν μέσον δάκτυλον εἰώθασι δεικνύειν οἱ ἀναγωγότατοι πρὸς ὕβριν· ᾗ δὴ καὶ ὁ καλὸς ἡμῖν Διογένης κυνικώτερον ἠσχημόνησε "τὸν δάκτυλον δείξας (Λαέρτ. εἰς Διογέν.). Καὶ τὸ 'Ρωσσ. δὲ Кýкишъ (показать кýкишъ), αἰσχρὸν ὡσαύτως καὶ πρὸς ὁμοίαν ἀποτυχίας ὕβριν σχῆμα χειρὸς, ᾧ περ αὖ χρῶνται καὶ κατὰ τὴν 'Ελλάδα συγκλείοντες μὲν εἰς πυγμὴν τȣ̃ς δακτύλȣς, τὸν δὲ μέγαν διὰ τȣ̃ λιχανȣ̃ καὶ μέσȣ διαπεπαρμένον ὑποδεικνῦντες, ὡς ȣ̉κ εὔσχημον λέγειν· δηλȣ̃σι δέ πȣ τὸ κακέμφατον τῆς Σ. κȣ́τσȣλος = (κύσθυλος), κύσθος = κύθρος, χύτρος, Σ.

χύςρος = *κυσὸς* (*κατ' ἀναδίπλωσ. κύκυσσος*, Кýкишъ *ἐκ τῦ κύω*, Кýю, *χύω*, Сýю, *κτλ. κατὰ τὸ κίκυς, κόκκυς, ἐκ τῦ κυκύω, ἀντὶ κύω· βλ. καὶ 'Ρείμ. λ. σκιμαλίζω*). *ἐν δὲ τῇ μικρᾷ 'Ρωσσίᾳ τὸ* Кýкишъ *λέγυσι* Дýля (*εἶδος ἀπίυ ςρογγύλυ. ὡς τὸ ἀνωτέρ. Γλ.* figue) = *τύλα, τύλη* (*ὄγκος, ἐκ τῦ* Тыю, Тылъ). *Ἕτερον δὲ τὸ Σ. δεκάτισμα, καὶ δεκατίζειν* (*τὺς δέκα δακτύλυς ἢ τὺς πέντε προτείνειν, ἀπευθύνοντα πρὸς τὰς ὄψεις ἐφ' ὕβρει τινὸς ὡς τυφλώττοντος*), *ὃ δὴ καὶ, μέντζα, καὶ μεντζόνειν, λέγεται* (*ἐκ τῦ μύτζυνον, 'Ιτ.* muzzo, *μύζω, βλ.* Мóрда). *ἀλλὰ γὰρ ἅλις αἰσχρορῥημοσύνης ὀχλικῆς!*|.

Шишъ *βλ.* Ши. Шiю̀, *βλ.* Шью̀. Шiя, *βλ.* Шéя.

Шеломъ, *καὶ* Шоломъ *'Ρωσ.* = *Σλαβ.* Слѣмя (*μεσόδμη*), *λτ.* culmen, *κάλαμος, βλ.* Солóма, *καὶ* Шлéмъ.

Шкáфъ, Шкáпъ (*θήκη, συνήθ. ἀρμάρι*) *σκάφη, σκάφος, Γρμ.* Schaff, *συγγ.* Schiff (*βλ.* Шью)·ш=с· *καὶ παρὰ Σέρβοις* Штапъ=*Γρμ.* Stab (*ςύπος*), *καὶ* Штрк=*Γρμ.* Storch, (*πελαργὸς, ὃ τινες παρέβαλον πρὸς τὸ ςοργὴ, ςέργω* = *σποργὴ. τῦτο δὲ ἐκ τῦ ὀργὴ, ἱργὸς, ὅθεν, καὶ γοργὸς, ᾧ συμπίπτει καὶ τὸ τόργος* = corvus. *βλ. 'Ρείμ. λ. γοργῶ*). *χρῶνται δὲ καὶ ἐν ἀρχῇ λέξεων οἱ Σέρβοι τῷ* Шт, *ἀντὶ* щ (*βλ.* Щавéль), *καὶ* Штица, *λέγυσιν ἀντὶ* Дщúца (*σανίδιον, βλ.* Дскà)· *ὥςε τὸ* Шт= Дщ, *καὶ* cm, щ. *οἱ δὲ Κροάται γράφυσι* sch,

ἀντὶ щ, *καὶ Καρνιόλ.* sh (ш), *ἀντὶ* shzh (щ).
Шквáра = Сквáра. | ш=с *'Ρωσ. ὡς καὶ* Шкý-
Шкáредъ = Скáредъ. | ра=скóра, *'Αλβ.* skiure.
Шквóрь, sskwor, *Βμ.* (*ὠτογλυφὶς, ὠτοδοίδυξ,*= *Σρβ.* уволажа. *ὠτοξύςης*), *συγγεν. σκάω=κσάω, κσέω, ξέω, ξύω, ξυηρὸν* (*σκFυηρὸν*)· *τὸ Κρ.* striga, *Κρν.* shtrigla=*λτ.* strigil, *ςρεγγὶς* (*ςλεγγὶς*), *ςέργω,* tergo.
*Шкúперъ (*ναύτης, ναύαρχος*) *τὸ Γρμ.* schiffer, *ἐκ τῦ* Schiff, *κατὰ διαλέκτ.* skipa, skepp, schipp, *κτλ. Γλ.* esquif, *'Ιτ.* schiffo, *σκύφος, σκάφος, σκάφη, λτ.* scapha, *ὅθεν σκαφίτης,* *καὶ* (*ὡς σκαφεὺς, σκαφήρης*), schiffer.
Шкýлъ, *Κρτ.* sshulya, *σ-κοῦλον=κῦλον, κοῖλον, κοίλωμα* (*σπήλαιον*)· *καὶ Βμ.* sskulina, *τὸ ῥῆγμα* (*λτ.* rima)· *καὶ τὸ Σκρτ.* koil (*ἄντρον, ναὸς*) = *κοῖλον, Γρμ.* hohl, *κύω,* Кýю. *τὸ δὲ Σρβ.* Чкáль (*ὀνόπορδον*) = *σκόλυς, -λυμος.* Чкáля, *Σ. καύκαλον,-λιον* [*ὅθεν* (*κ*= *τζ, αυ=ϛ*) *τζϛκάλιον* (*χύτρα*), *καὶ, βαυκάλιον,* bocal, *καῦκος, καυκίον,* cauca (*καύω, σκέω, -λω*), *σκαλὶς = Γρμ.* Schale, *κτλ.* (*κοῖλον*).
Шлéмъ, *'Ρωσ.* Шелóмъ (*περικεφαλαία. παρὰ Μοραβοῖς, γυναικεῖον κρήδεμνον*) *φαίνεται* = *κέλυμα = κάλυμα* (*ἐκ τῦ καλύβω, οἷον κέλμα, συγκοπ. καὶ μεταθ. κλέμα,* Шлéмъ· *ὡς τὸ κάλπη ἐκ τῦ καλύβη*), *ἔςι γέμην* (*ἕλω κέλω, λτ.* celo, *ἐλύω, ἐλύσσω*) = *ἔλυμα, μετὰ τῦ πνεύματ. σ-έλυμα* (*συγκοπ.* Шлéмъ). *πρβλ. Γρμ.* Helm (*περικεφαλαία*), *Δαν.* hialm,

Σβ. hjelm, *'Αγγ.* helm, *Γλ.* heaume, *'Ιτ.* elmo, *μσ. λτ.* elmus, helmus, *καὶ τὸ ἀρχ. Γρμ.* hellen (*καλύπτειν κρύπτειν. βλ.* Adelung. *λ.* Helm): *συγγεν.* Хóлмъ (*ὅλμος*, *ἕλω*).
Шлея́ (*ἱμᾶντες οἱ ἐπὶ τῶν ἐζευγμένων ἵππων, ὡς οἱ μασχαλιςῆρες*), *φαίνεται, σέλλια=ψέλλια, ψάλλια* (*δεσμά*). *ἔςι δ' ἴσως παρὰ τὸ* Силó = *σίλλον, σίλλα* (*ἴλλος, ὅθεν ἰλλάριον τὸ Σ. γιλλάριον, καὶ χυδαίως, γιαλλάριον, καὶ λατινικῶτ. καπίςριον*, capistrum, caput).
*Шлифýю (*λειόω=λτ.* laevigo), *λειFόω, ɉλειFόω* (*σλειβόω*), *τὸ Γρμ.* schleifen.(*ὡς τὸ ςιλβόω, ςίλβω ἐκ τῦ σίλβω, ɉίλFω, ἴλλω. 'Ρείμερ.*).
Шлю́, *Σλαβ.* Слю́ (*ςέλλω*), *σ-έλω, καὶ εἴλω, ἴλω, ἴλλω, σ-ἴλλω, -λάω*, Сылáю, По-сылáю (*ἀποςέλλω*) = *ἔλω, ἐλάω, „ἔλα, βάδιζε* (*'Ησύχ. καὶ ἐν τῇ συνηθ. ἔλα, ἐλᾶτε = ἄγε, ἄγετε*), *ἔλλετε = ἄγετε* (*Καλλμ.*). *ἐκ τῦ ἔλω, ἔλλω, ἴλλω, καὶ τὸ κίλλω, κέλλω, κέλευθος* (*μετὰ τῦ πνευματισεμ κ*), *καὶ ἔλλω = ἄλω, ὅθεν καὶ τὸ Γλ.* aller· *ἢ δή φασι καὶ ἐκ τῦ Fάλω* (balo), *τὸ λτ.* ambulo. [*ἀλλ' ἔμοι γε τὸ* ambulo *δοκεῖ εἶναι οἷον ἀμβύλω* (*ὡς ἀμβάλλω*), *βύλω, ἐκ τῦ βύω* (*ὅθεν καὶ τὸ βύζω, βαβύζω, βαβύκτα = βάζω, βάδω*) = *βάω* (*βάλω*), *ὅθεν βηλὸς = βάνω, βαίνω*]. *ὡς δὲ κέλλω, ἐκ τῦ ἔλω, ὅτω καὶ τὸ* (*σέλω*) Слю, *καὶ τέλα=ἔλα* (*'Ησύχ.*)· *τ, σ, κ, πνεύματα.*
Шля́пка (*πῖλος*) *ὡς ἐκ τῦ* Шля́па *συγγεν. τῦ*

κάλπα (μεταθ. κλάπα), ἀντὶ (καλύπα) καλύβα, ἐκ τῦ καλύβω, ὅθεν καὶ τὸ Σ. καλπάκι, καλπάκι, Колпа́къ, Τϑρ. kalpak. (τὸ δὲ Πολ. Шля́пь = κάλπη· βλ. Шágъ)· τὸ δ' αὖ Шáпка (Шя́па) ἐκ τῦ caput, capa, κάπα, κάππα (καππάσιον. βλ. Ка́пище)· ὅθεν Γλ. chapeau, ἐκ τῦ 'Ιτ. capello, συνήθ. καπέλλον. οὕτω καὶ κυφαία, ἡ Σ. σκῦφια ἐκ τῦ κύφη (ἡ κεφαλή), πρβ. καὶ Τϑρκ. καὶ Ταταρ. Шáпка.

Шо́рохъ (ἦχος, ψιθύρισμα). Шоро́шу (ἠχῶ ἠρέμα, ψιθυρίζω), σαρύσσω = ψαρύσσω, ψαρύσσω ἐκ τῦ ψαίρω. „ λιγὺ πίτυς ψαίρει (Λϑκι.)· ὡς ἐκ τῦ ψαίνω, ψαινύσσω (ψ= ш=σ, κατὰ τὰ, σιτακὸς, ψιτακὸς, κτλ. βλ. Шепчу̀). τὸ δὲ Πολ. Шмер=murmur, μορμύρω, murmuro, ἐκ τῦ μύρω (οἷον μύρος μετὰ τῦ πνευματισμῦ ш = σ· ὡς, μῦς, σμῦς· μικρὸν, σμικρὸν, κτλ.).

Шпáга (σπάθη) σπάγα, σφαγὰ = σφαγεὺς, ὡς καὶ σφάγανον τὸ φάσγανον. βλ. Пажу̀. 'Εκ δὲ τῦ σπάθη, τὸ 'Ιτ. spada, 'Αγγ. spade, Γλ. éspadon, συγγ. Γερ. Spaten, Spathen, Spaden· ἴσως δὲ καὶ ἐν τῷ Шпáга τὸ г = д = δ, θ.

*Шпо́ра, Шпо́ры (κέντρον ἵππϑ). Шпо́рю (κεντῶ) σ-πέρω, σ-πείρω = πείρω, πέρω, Перу̀, πειρὰ, περόνη, ὅθεν τὸ συνηθ. σπειροῦνι= κέντρον, Σβ. sporre, 'Ιτ. spore, Γρμ. Sporn, Γλ. éperon, κτλ. βλ. Пру̀. ὡς καὶ Σ. πειρῦνι (τὸ ἐπιτραπέζιον δίκρανον).

Шпыняю (*χλευάζω*), *σπινάω*=*ψινάω*, *ψίνω*, *ἀντὶ* *ψέγω* (*ψέω*, *ψίω*, *ψάω*, *συγγενῆ*. *βλ.* Шучу).

*Штопаю (*βύω*), *τὸ Γρμ.* stopfen, *Σβ.* stoppa, *κτλ.* *μσ.* *λτ.* stoppo=*ςύπω*, *ςύππω*, *ςυπόω* [*συνήθ.* *ςουπόνω*, *καὶ ςȣμπόνω*, *κατὰ τὴν φίλην παρ' Ἕλλησι πρόσθεσιν τȣ̃ μ πρὸ τȣ̃ π*, *φ*, *β*, *ὡς ἐν τοῖς*, *ὄμβριμος*, *ὄβριμος*· *ὄμβρος* (*ὄμβρος*, *ὀρβὸς*, *ὀρφὸς*)· *ὄμπνη*, *ὄμπη* (*ὄπη*, *ὤψ*, *ὀπὸς*, ops, opis)· *γνάμπτω*, *γνάπτω*· *ὀμφὴ* (*ἔπω*), *κτλ.* *Οὕτω καὶ ἄλλα πλεῖςα τῆς συνηθ.* *ὡς*, *ἀμπώχνω*, *ἀμπώχω* (*ἀπάθω*)· *ὀμπλὴ*=*ὀπλὴ*, *κτλ.*], *συγγεν.* *ςείβω*, *ςίβω*, *λτ.* stipo· *ὅθεν καὶ* Штофъ, *τὸ Γρμ.* Stoffe (*ὑελίνȣ σκεύȣς εἶδος κυβικȣ̃*, *ὅμοιον τῷ τῆς Σ.* *μπότσα* = *βύττη*, *βύττις*· *καὶ παρὰ τοῖς ἐν Ῥωσσίᾳ Ἕλλησι*, *ςόφα*) = *Ῥωσσ.* Стопа̀ (*εἶδος μεγάλȣ ποτηρίȣ*, *ἢ κρωσσȣ̃*, *καὶ μέτρȣ*), *ὡς ςυπȣ́μενον*, *ςεμφόμενον* (*ἐπιςεφόμενον ποτῷ*), *ἢ μᾶλλον ὡς ἐκ τȣ̃ σχήματος*, *κατὰ τὸ* Ступа, *ςȣ̃μβος*, *ςȣμβιςήριον* (*ἰγδίον*). *βλ.* Сшопа̀.

*Штркъ, *Σερβ.*=*Γρμ.* Storch, *βλ.* Шкафъ.

Штрафъ (*ποινὴ*). Штрафую (*τιμωρῶ*) *τὸ Γρμ.* strafen, *Σβ.* straffa, *Ὀλ.* straffen, *κτλ.* (*καὶ Τȣρκ.* straph = *ζημία*), *συγγ.* *ςράφω*, *ςρέφω*, *ςράβω*, *ςράβη*, *ςρέβω*, *ςρεβλόω*. *Ἰτ.* strappare, strappazzare, *κτλ.*

*Штурмъ (*κλύδων*, *ζάλη*, *λαῖλαψ*, *ἔφοδος*) *τὸ Γρμ.* Sturm=*λτ.* turba, *τύρβα*, *θόρυβος*, *β*=*μ*; *τύρμα*

ὡς ταρμύζω = ταρβύζω). ἤ ςρόμος = ςρόβος. βλ. καὶ Adelung.

*Штыкъ (ἡ συνήθ. βαγιονέττα, Γλ. bajonette), τὸ Γρμ. Stick, stechen = ςίζω, ςίξ.

Шуба (καυνάκη [Σ. γούνα, Гýня, κόνα, βλ. Кýна] πέλλα, λτ. pella, κτλ.) σύβα, σίβα, σύφος, σύφαρ. [καὶ σίββα, κίββα, κίβα, κύβη (κοῖλον σκεῦος), ὡς, σύφος, σίπυς, σιπύη = κύφος, σκύφος, σκύθος, κύτος (βλ. Ῥείμερ. λ. σῦς, σύφαρ, σιβύνη). Ἐκ τῦ σύφαρ, σύφα, καὶ τῆς συνηθ. τσύπα = γραῦς, ἐπίπαγος, ὡς ὁ τῦ γάλακτος, κτλ. (ὕτω καὶ τὸ σύφαρ), ἔτι δὲ καὶ ὁ λεπτὸς φλοιὸς, ὡς ὁ τῦ κρομμύου λοπὸς, cepa. Ἄλλο δὲ τὸ λτ. cœpa (κρόμμυον), κατὰ τὸ „κάπια, κρόμμυα (Ἡσύχ. = capita, κάπιον = caput, κεφαλὴ), ὑποκορ. cœpula, ὅθεν Ἰτ. cipolla, Γλ. ciboule, Γρμ. κοινῶς, Zippel=Zwiebel, Zwiefel. ἔςι δ' ὖν καὶ τὸ caput (κάπιον), συγγεν. κύφη, κυβὴ, κάφα, (κέφα, κωβὴ) κεφαλή.

Шуйй (ἀριςερὸς), συγγεν. σκαιὸς, σκαιϜὸς, λτ. scævus, ἐκ τῦ κάω, καύω, χάω. Παρβ. τὸ Γρμ. schäff, scheef, schief=κοῖλος, κυρτὸς· (καὶ τὸ Ἰτ. manco, ἐκ τῦ mancus, ὡς καὶ τὸ λαιὸς· διὰ τὴν ἀσθένειαν τῶν ἀριςερῶν μελῶν, βλ. Ῥείμ. λ. λαιός). Ἐκ δὲ τῦ scævus, σκαιϜὸς с=ш=χ, κ, σκευὸς, καὶ τὸ σκεύαξ, „σκεύακας τὺς εὐωνύμους (Ἡσύχ.)· ὅθεν ἴσως καὶ σκυὸς (σκυὸς, σκῦος, Шуйй, áя, ée). ἤ

= (γυδς, γ = χ = ш, χυδς) = γυιδς = Γρμ. Schooss· τὰ πάντα ἐκ τῦ γύω, κύω, χύω (Сую), κέω, κίω, σκεύω = σκαύω, καύω. Ἀλλὰ καὶ τὸ χυδαῖον τῆς Σ. ζερβὸς ὁ ἀριςερὸς (ἐκ τῦ Σ. γέρω ἀντὶ γύρω=κύρω, κύω, κυρτὸς, παρὰ τὸ γύω, γέω, γάω = κύω, κάω) = γερϜὸς = γυρϜὸς, γυρὸς, λτ. curvus. [οὕτω καὶ τὸ Σ. ζόμπος=γόμπος (γόμφος), γαμπὸς, γαμψὸς, καμβὸς, σκαμβὸς, γάμπω= κάμπω, κάμβω, κάβω, καύω, κάω. παρ' ὃ καὶ βόμβος παρ' Ἠπειρώτ. ὁ μικρὸς τὸ ἀνάςημα καὶ ναννώδης (β = γ· καὶ γ = ζ)· ἐκ δὲ τῦ βόμβος, τὸ παρ' ἄλλοις, βόμβηρος (ναννώδης, ἀντὶ γόμβηρος = κόμβαρος, καμβηρὸς, καμβυρὸς, -πυρὸς, ὅθεν πάλιν τὸ καμπέρης = καμπύλος [τὸ βόμβυρος ἐκλαμβάνεται καὶ ἐπὶ δαίμονος (ὡς τὸ κόβαλος, Γλ. Gobelin. βλ. Кую), ῷ συμφωνεῖν ἔοικε καὶ τὸ Γλ. vampire, ἀλλὰ τῦτό γ' ἴσως ὡς τὸ ἕτερον τῆς Σ. βῦμβαρος, καὶ βαμβῦλας, βαμβῦτσας (φάσμα λεγόμενον πρὸς τὰ παιδία)=βόμβυξ, βομβυλιὸς, Σ. βάμβυνας, βάμβυρος(τὸ ζωΰφιον) ἐκ τῦ βόμβυ]. Ἕτερον δὲ πάντῃ τὸ Σ. ζογκλὸς=ὀγκύλος, ἀγκύλος, (ἄγκος, ὄγκος, ἀγκὸς, ἀγκὺς), ὅθεν καὶ τὸ ἀρχαῖον ζαγκλὸς, καὶ ζάγκλη (βλ. Ῥείμ. λ. ζογγύλος), καὶ ζόγκος δὲ λέγεται ἁπλῦςερον (ὄγκας, ὀγκὸς, ὀγκὺς), καὶ παρά τισι βαρβαρικώτερον, τζαγγὸς, ὅθεν καὶ τὸ Ἰταλ. Zanco (ςρεβλὸς, ἀριςερὸς. βλ.

καὶ Жéзлъ, καὶ Кóгопь). πρόσθες καὶ τὸ Σ. τζαγανὸς (ὁ παρ' ἄλλοις, κάβυρος=καρκῖνος) = ζαγανὸς, ἀντὶ ἀγανὸς, ὅθεν καὶ Ἰσπαν. Zangano (ἄγω, ἀγνύω, παρ' ὃ καὶ τὸ ἄγκος ὄγκος, ancus, uncus, ἀγκύλος), ὡς ἀγκυλοχήλης ἀμέλει τοι ὁ καρκῖνος. οἶμαι δὲ καὶ τὸ βαρβαρόςομον τῶν Βυζαντινῶν ζάγγρα ζάγγρα, καὶ τζάγγρα (τόξον), παρὰ τὸ ζάγκλος, ζάγκλον, ζάγκλη (δρέπανον) παρεφθάρθαι, ρ=λ, (διὰ τὸ ἀγκύλον τοῦ τόξου, ὡς καὶ τὸ Γερμ. Bogen, ἐκ τοῦ bagen = βάγειν, ἄγειν ἀγνύειν), ὅθεν καὶ ζαγγράτωρ (τοξότης), κτλ. ἢ καὶ ὡς ἐκ τοῦ ζαγκρὸς, κατὰ τὸ ἄγκυρα (ἀγκὺς, ἀγκυρὸς), καὶ ἡ τζογγράνα δὲ (οἶμαι) τῆς Σ. (κτεὶς ἀραιὸς· παρὰ Θετταλοῖς. βλ. καὶ Шéрохъ). ἐκ τοῦ ζαγγρὸς, ζογγλὸς (ζάγκλη). τὸ δὲ Σ. ζαβὸς (ςρεβλὸς, καὶ ἀσθενικὸς) = καυὸς (γαυὸς, γ = ζ), χαυὸς, cavus].

Шýйца, σκαιὰ,-ῖτζα,=λαιὰ (ἡ ἀριςερὰ, ἐλλειπ. χείρ. ὡς τὸ Десни́ца, βλ. Десны́й). συγκοπ.

Шýнца, βλ. Δοβρόβ. 309. (ш=σκ).

Шýмъ (βόμβος, ἦχος) τὸ Γερμ. Summen, summen· Шумлю̀ (βομβῶ, θορυβῶ) ὀνοματοποΐα, ὡς τὸ σίζω, σισμὸς, σιγμὸς [οἷον σιμὸς (χωρὶς τοῦ γ. ὡς, ῥῆγμα, λτ. rima]· ἰωμὸς=ἰωγμ. σαμάριον=σαγμάρ.), συμὸς, ἐκ τοῦ σύω (πρβλ. καὶ ψύω, ψάω, ψαίνω). βλ. Ῥείμ. λ. σύω, ψάω].

Шýринъ (γυναικάδελφος), ξενικὸν, παρηχεῖ δὲ

πρὸς τὸ σ-εἰρην (εἴρην, ἔρην, συγγεν. ἔορ, ὄορ = συγγενής. Ἡσύχ. βλ. Сестрà). βλ. Ῥείμερ. λ. δαρ.

Шучу̀ (ἀςεΐζομαι, παίζω, χλευάζω), σύζω = ψύζω, ψύω (βλ. Шáрю), ὅθεν ψιάω, ἐψιάω, κτλ. [ψίω = σίω, Πάφιοι· καὶ ψύω (πτύω) σπύω, λτ. spuo, sputum, Γρμ. spotten (χλευάζειν) = ψύττειν ὡς καὶ ψίω, ψέω, ψέγω, καὶ ψύω, ψύδω, ψύθω, ψεύδω, βλ. Шпыня́ю]. Шу́тъ (ἀςεῖος γελωτοποιός), ψύδων, ψύζων, ψυδνὸς (ὡς ψιδνός). Шу́шера (πράγματα, ἢ πρόσωπα ὀτιδανὰ), ὡς ψέδια, ψυδρὰ κτλ.

Шью̀, Σλβ. Шiю̀ = σύω (ὅθεν κασσύω, καττίω = κατα-σύω, ἴσ. ἀντὶ σκύω [ὡς, σύλον ἀντὶ σκύλον] = σκάω, σχάω (ὡς τὸ ὄπεας ἐκ τῦ ὀπῆ, καὶ τὸ χῆλον ἐκ τῦ χάω σχάω. βλ. Шúю), λτ. suo, sutor = Шве́цъ (σϜύτης), κτλ. Шúпикъ (εἶδος πλοίυ μακρῦ) παράγεται συνήθως ἐκ τῦ Шiю, ἔςι δ' ἴσως = σκύτος, σκύθος αἰολικ. ἀντὶ σκύφος, σκάφος, βλ. Шкúперъ.

Щ.

Щ, щ, Щ, щ, Ῥωσσικ. (Шча, σστζιὰ, Γρμ. schtscha) = σκ, σχ, σδ, στ, χ, τ. Τὸ щ σύγκεται ἐκ τῦ ш, καὶ τῦ τ προσκολληθέντος πρὸς τὴν βάσιν τῦ ш (οὐ γάρ οἶμαι

τὸ τῦ γράμματος εἶδος σύνθετον ἐκ τῦ с *ἢ* ш, *καὶ* ц· *δηλοῖ δὲ καὶ πολλὰ Σερβικὰ καὶ ἄλλων Σλαβονικῶν διαλέκτων ὀνόματα ἐν οἷς γράφεται* шт, *ἀντὶ* щ. *βλ.* Щавéль). *τῦ δὲ φθόγγυ τῦ* т *εἰς τὸν καὶ παρ' Ἰταλοῖς καὶ παρ' ἄλλοις ἔθνεσι εἰθισμένον τρισμὸν, τσ, τζ,* ч, *μεταπεσόντος, προςεθέντος ἅμα καὶ τῦ συριςικῦ* ш, *προῆλθεν ὁ φθόγγος τῦ* щ (Шча). *Ἔςι τοίνυν κυρίως τὸ* щ= *στσ, ἢ σδσ,* (т=ч), *στζ· ἐπεὶ δε τὸ* т *καὶ*=*κ, διὰ ταῦτα καὶ τὸ* щ *ἀναλογεῖ πρός τε τὰ σκ, σχ, καὶ πρὸς τὸ κ καὶ χ, χωρὶς συριγμῦ, ὡς καὶ πρὸς μόνον τὸ τ, καὶ τὸ τῦτυ ἰσοδύναμον δ* (*βλ. ἐφεξῆς. βλ. καὶ* ц, ч, *καὶ λέξ.* Тóщій, *καὶ* Шкáфъ, *καὶ Μέρ. Α. Ἀλφαβ.*). *Ἔςι δὲ καὶ ἐν τῷ* (*μετὰ τὴν Ἀλεξάνδρυ ἀνάβασιν ἀπὸ τῦ ἑλληνικῦ ἐκτυπωθέντι*) *Κοπτικῷ Ἀλφαβήτῳ ἀσιανὸν γράμμα* щ (scei), *ἀλλὰ τὸν τῦ Σλαβονικῦ Ἀλφαβήτυ Ἕλληνα πατέρα ὁ μᾶλλον, οἶμαι, πρὸς τυτὶ τὸ ςοιχεῖον ἢ πρὸς τὴν δύναμιν ἀπιδόντα τῶν φθόγγων ἐξ αὐτῶν δὴ τῶν οἰκείων τοῖς Σλάβοσι ςοιχείων* ш, т, *τυπωσασθαι τὸ* Щ.

Щавéль, *Πολ.* szczaw, *καὶ* szczawik=*ὀξαλὶς, ὀκσαλὶς* (*ὁ-σκαϜλὶς, ὁ-σκαϜελὶς, σκαϜλὶς, ὡς Σ. ξινήθρα*=*ὀξινήθρα, Γλ.* osseille), *Σρβ.* Шштавлье, *Ἰλλ.* sctavje, *Βμ.* sstjowik· [щ= шт (*βλ. ἀνωτέρω*) = *σκ, κσ* (*ξ*). *οἷον ςαϜλὶς, ἀντὶ σκαϜλὶς, ξαϜλὶς. βλ.* Щавý,

Щеня́, Щиплю́, Щего́ль, κτλ. καὶ ἐν ἀρχ. κώδηξ. Аште (ἄστε) ἀντὶ Аще, ἄςκε, κτλ. βλ. καὶ ócщь· καὶ τὸ Κρτ. schav=Щавъ= ὀξυλάπαθον, λάπαθον].

Ща́вство, Σλαβ. (ὀκνηρία) σχαυςϜὸν (σχαύω= χαύω, χαῦνος, χαυνότης)· καὶ Ща́вствую (χαύνως διάγω, θρύπτομαι, τρυφῶ).

Щажду̀, 'Ρωσσ. Щажу̀ (φείδομαι, ἀπὸρφ. Щадѣти, -дити, ὡς ἐκ τοῦ Щаду̀), σχάδω, σχάσδω, σχάζω=σχέζω, σχέδω, -θω (κρατῶ, ἐκ τοῦ σχέω=ἔχω, ἔξω, ἴσχω, βλ. 'Ρείμ. λ. σχάζω), σχεδρὸς, σκεθρὸς=Ще́дръ(οἰκτίρμων, κυρίως τλήμων, καρτερικὸς, tolerans· καὶ ὡς ἐκ τῆς τοῦ οἰκτίρμονος σημασίας, 'Ρωσσικῶς=ἐλευθέριος), καὶ Βμ. ssljedry, Πολ. szczodry (βλ. Щаве́ль). Щедро́та, οἷον σχεδρότης (οἰκτιρμὸς), κτλ. Ἴσως δ' ἄντις ἐκλάβοι μᾶλλον ἀνάλογον αὐτὸ δὴ τὸ σχάζω (οὐκ ἀντὶ τοῦ σχέω, -θω), ἀλλ'=σχίζω (ἐκ τοῦ σχάω, χάω, κάω), κατὰ τὴν σημασίαν τοῦ φείδομαι (σχίζω). βλ. Прощáю.

Щебечу̀, - тати (ἐπὶ ὀρνιθαρίων, σ-τυβίζω), τιτυβίζω, τιτθιβίζω· ἢ ὡς τὸ Γρμ. zwitschern, συνήθ. τσιτσυρίζω (τσϜιτσυρίζω)=τιτυρίζω (τίτυρος, σίσυρος, σίτυρος, σίττω, σίζω, Γρμ. zischen), ὅθεν καὶ τὸ Πολ. szczebiot, Βμ. sstebet=щтѣбетъ.

Ще́гла, Щóгла (ἱςὸς πλοίου), ἐκ τοῦ Γρμ. Segel (ἱςίον, ὕρμενον· ὡς καὶ τὸ ἱςίον, ἐκ

τȢ ἰςὸς)=λτ. sagum=σάγος (ὡς σαγολαίφεια, κτλ.). ὅθεν καὶ ὁ τῆς συνηθ. σαγιὰς (εἶδος ἐπανωφορίȢ, καθὰ καὶ σαγομάντιον ἐκ τȢ σάγος, μανδίας = χλαμὺς· Μ. ἐτυμ.). βλ. Δοβ. σελ. 171.

Щегòлъ (ἀκανθὶς, ἀκανθυλλὶς, λτ. fringilla carduellis, Γλ. chardonneret, 'Ιτ. cardello, carderilla, ὅθεν καὶ ἡ συνήθ. καρδερίνα), Κρ. Штиглецъ 'Ιλλυρ. Спаглинъ, κτλ. συγγεν. Γρμ. Stieglitz, Stiglitz (καὶ Distelfing), παρὰ τὸ steige = ςείχω, Стигỳ, ςίχω, ςοίχω (διὰ τὴν ταχεῖαν ἀναῤῥίχησιν τȢ πτηνȢ. Adelung). ἡ δὲ παρ' ἄλλοις καρδερίνα λέγεται Σ. (ἐν Θεσσαλίᾳ) καὶ, ςριγαλινὸν, ςριγληνὸν, παρενθέσει τȢ ρ, (ὡς, ςρυφνὸς, ςυφνὸς), οἷον ςιγληνὸν= Спаглинъ, ςιγηλὸν, ςιχηλὸν, ἀντὶ ςιχηρὸν· ὥςε τὸ Щегòлъ εἴη ἂν οἷον Стегòлъ=(ςεγὼν, ςεχὼν), ςειχῶν, ςέχων, ςείχων, ςίχων, [ἔςι δὲ καὶ Στίχων κύριον ὄνομα κυνὸς, ὡς καὶ Σπέρχων, κτλ. Ξνφ.].

Щéголь, Щóголь [ἐπιθυμητὴς, amateur, καὶ θρυπτικὸς, Γλ. petit-maître, συνήθ. μορφέλης, καμαρωτὸς, σειςὸς καὶ λυγιςὸς, γλυψίδης (κατὰ τὸ γλαφυρὸς), κτλ. καὶ κοκονάκης ἐκ τȢ κοκόνα=κυρία, δέσποινα, ὅπερ οὐκ οἶμαι παρὰ τὸ κόκκων (κόκκος), ἀλλὰ μᾶλλον= κόνα =γόνα, γύνη, γυνὴ, ἀρχ. Γρμ. kona, qüan, quän, 'Αγγλ. queen (βλ. Женà), κατ' ἀναδιπλασιασμὸν κοκόνα, ἢ καὶ, κοκ-

κόνα, ὡς, κοκκύαι, καὶ κοκύαι ἐκ τῦ κύω, κτλ.]. *τὸ γῦν* Щéголь, *ἐκ τῦ λτ.* singulus (singularis) = *σ-ἴγγυλος, ἴγγυλος, παρὰ τὸ ἴγγα = ἓν· Πάφιοι.* (*Ἡσύχ. ἐκ τῦ ἕν, ἕνα, εἴν, εἴννα, νν = γγ, εἴγγα, ἴγγα*). *παίζων δ' ἂν τις κατὰ ψευδῆ παρήχησιν παραβάλοι τὸ* Щéголь *καὶ πρὸς τὸ κίγκλος, οἷον σ-κίγκολος* (*ἐκ τῦ κέλλω, κέλλω, λτ.* cello, cillo, *κικίλλω, κίκιλλος, κίγκιλος, κίγκλος, τὸ πτηνὸν τὸ καὶ κίλλυρος, καὶ σεισοπυγὶς, συνήθ. σεισυράδα, καὶ κωλοσῦσα*=Трясогýзка), *ὅθεν καὶ κιγκλίζομαι, -λίζω* (*κιγκλέω*), Щеголяю (*θρύπτομαι ὡς οἱ γλαφυροί*).

Щекà, Щокà *'Ρωσσ. καὶ Πολ.* = *σιαγών* (*κατὰ παραφθοράν, σιαγὰ,* Щакà, Щекà), *ἡ, συγγ.* Сѣку, seco? (*ὡς ἐκ τῦ μάζω, μάσσω, μάςαξ, τὸ λτ.* maxilla· *ὡς ἂν εἴποις, μασσάλη· ὡς,* axilla = *μασχάλη*).

Щекочỳ (*γαργαλίζω*). *βλ. τὸ συγγεν.* Скокщỳ (*ξυξῶ, -κσῶ, ξυκυκσῶ, ξυξύω=ξύω*), *Γρμ.* kitzeln.

Щекочỳ (*ἐπὶ φωνῆς κίσσης*), *σ-κοκκάζω, κοκκύζω. τὸ Πολ.* Щек = *ὑλακή*, szczekać, *ὑλακτεῖν, οἷον κακκάζω, γαγάζω, κτλ. ὅθεν καὶ* Щукòтъ (*κρότος*), Щукотю̀ (-кочу) *κροτῶ, κτλ.*

Щелкáю, Щолкáю (*νοβακίζω, ἢ νοβακκίζω, ἤτοι, συμψοφῶ τοὺς δύω δακτύλους.* 2, *κολαφίζω, κονδυλίζω*), *συγγεν.* Толкáть, Толкáю· *ὃ παρὰ τὸ* Клйку, -кну, чу, *κλάγω* (*οἷον μεταθ.* Кйл-

ку, *κέλγω*, Шкélку), *κλάζω*, *κλάγγω*, clango *Γλ.* claquer, *κτλ. ὀνοματοποιΐαι.*

Щёлокъ, *βλ.* Щóлокъ.

Щéль (*σχίσμα*, *ῥῆγμα*, *Γρμ.* Ritz, *ὡς ῥῖξις*, *ῥήσσω*, reissen). Щеляшься (*σχίζομαι· ὡς ἐκ τῦ* Щеляю, Щелю), *σκάλω* (*α* = *ε*, *σκέλω*) *σκαλέω*, *Γρμ.* schälen, *σκύλω*, *σκύλλω*, *σκύλμα*, *σκάω* = *ξάω*, *σκαύω*, *σκάβω*, scabo, *σκάπω*, *καὶ σχάω*, *σχάζω*, *σχάσμα*, *ἐκ τῦ καύω*, cavo, *κάω*, *κύω*, *κτλ.*

Щемлю (*πιέζω*, *θλίβω*. *ὡς ἐκ τῦ* Щему), *ςέμω* = *ςέβω*, *ςέμβω*, *ςείβω*, *ςίβω*, *ςίπω*, stipo, (*β* = *μ*. *αἰολικ. ὡς καὶ ςόμος* = *ςόβος· ςύμος* = *ςύπος· καὶ στ* = *τσ* = *τζ*, *στζ*)· *ὅθεν οἶμαι καὶ τὸ Σ. τσαμπίον* (*βότρυς*) = *σταμπίον* = *ςαπίον*, *ςαπὶς* (*ὅθεν ςαφὶς*), *ςάφυς*, *ὅθεν καὶ* (*ςάφυλος*), *ςαφυλή* (*ςάπω* = *ςείπω*, *ςείβω*), *ὅθεν*, *ἴσως*, *καὶ τὸ* '*Ιτ.* Zampa, *κτλ. οὕτω λέγομεν καὶ*, *τσύμπυρα* = *ςέμφυλα*. *τὸ δὲ τσύβαλα* = *σκύβαλα* (*σκ* = *τσ*).

Щеня, Щенéцъ, Щенóкъ, *σκύμνος*, *σκύλλαξ*, *σκύλαξ* (*ν* = *λ*· *σκύναξ*, Щенéцъ), *συνήθ. σκυλάκι*, *σκυλίον*, *ἐκ τῦ σκύλλος*, -*λος* (*κύελος*, Кóбелъ, *παρὰ τὸ κύω*), *ὅθεν καὶ τὸ κύων*, *ὗ ἡ γενικ.* (*ὡς ἐκ τῦ κὺν*) *κυνός*; *λτ.* canis, *Γλ.* chien, *πληθυντ. αἰολικ. κῦνες* (*ὡς ἐκ τῦ κύων*, *κὺν*), *Γρμ.* Hund [*κοὺν*, *κὺν*, *μετὰ τῦ* d, *ὃ μάλιςα φιλῦσιν ἐν πολ-*

λοῖς αἱ Γερμανικαὶ καταλήξεις, κατὰ τὰ wehen, Wind· ῥὴν, Rind· sanus, σά(ν)ος, sound, gesund· ὕλη (ὕλη, sylva) Wald, Wild· μήνη, Mond· καὶ, ψάμμος, σάμμος, σάμ-ος, Sand, κτλ.], Λετ. sunis, Ἀρμν. schun, Σκρ. schunaka, κτλ. ἐκ τοῦ κύω, κύμενος (κυόμενος), καὶ τὸ (κύμνος), σκύμνος. Σρβ. Штене, Штенацъ (шип, ἢ сш = щ = σκ, βλ. Щавéль). Щéная (κύων ἔγγυος), ὡς κύουσα (οἷον κύνουσα ἢ σκύννα = κύνκα, κύνα, κυνάς). Щенóчекъ, σκυμνίσκος, κτλ. καὶ τὸ Βουλγαρ. (καὶ Ταταρικὸν) Кýче (κύων), φαίνεται συγγεν. κύζω, σκύζω, ἐκ τοῦ κὺς (κύων, κὺν), κοὺς (βλ. Ῥειμ. λ. σκύζω), ὅθεν καὶ Σ. ἐπιφώνημα πρὸς κύνας, κούτσ, κούτσ! τοῦ δὲ Кýче συγγεν. ἂν εἴη καὶ τὸ Σλαβ. καὶ Ρωσσικ. Сýка (κύων, ἡ), οἷον κοῦκα, ὡς παρὰ τὸ κούω, κύω, χύω (Сýю), ὅθεν καὶ διπλασιασμ· κοκύω, παρ' ὃ κίκυς (βλ. Ῥειμ.). καὶ κοκύαι, κοκκύαι = γονεῖς. ἢ καὶ κοχύω (χύω), κόχος (δαψιλὴς ῥοῦς), κόχη, κόχα (κοῦχα, Сýка), ἡ ῥᾶσα κύουσα καὶ οἷον χύουσα, διὰ τὴν περὶ τὴν λοχείαν ῥασώνην· τὸ δὲ τῆς Σ. κουττάβιον (ὁ σκύλαξ, καὶ καθόλου = σκύμνος, θηρίον νεογνὸν), ἴσως ἐκ τοῦ κόττος (κεφαλὴ), κότταβος (καὶ κάττος, λτ. catus, catulus)? ἢ, κῦθος (σπέρμα, κύημα), κύτος, ὑποκοριστικ. κυτάβιον (-φιον, ὡς, μύρον, μυράφιον, χωράφιον, κτλ.), συγγεν. κὺς, κυνός?

Щер (щéрю), ὅθεν *Πολ.* szczerzyć, *Βμ.* sstiriti, *Σρβ.* καὶ *Κρτ.* церитисе = σαίρειν [ἐκ τῶ σάρω, ὅθεν καὶ (σάρδω) σαρδῶν, σαρδωνίζω, καὶ (σάρκω), σαρκάζω. βλ. 'Ρεἰμ. λ. σαρκάζω (щ=στζ=τζ=σσ, σ. ὡς Σ. κνίσσα (-τζα), μεταθ. τζίκνα). *Δοβρόβ.* σελ. 173.

Щепóть, Щепóтка (ὅσον ἄν τις λάβοι τοῖς δύω ἢ τοὺς τρεῖς δακτύλους συμβάλλων, Γλ. pincée), ὡς τὸ συνήθ. τσυμπητὸν, τσυμπιά, τσύμπημα (οἷον τσυπητὸν), βλ. τὸ συγγεν. Щиплю.

Щербúна, ἐκ τῶ Щерба, *Κρν.* shkerbina, sherba, shkerba (χάραγμα, χάσμα, ῥῆγμα, τρύπα, χάλασμα), συγγ. σκάρω, *Γρμ.* scharren, scheeren, Scharte, σκάριφος (συγκοπ. σκάρφος, σκάρφα)· τὸ δὲ σκάρω = κάρω = χάρω, χαρύω, χάρυβος (ὡς, χάρυβδις), χέραβος, Σ. χάρβαλον, χαρβάλα, (χαρβάνα, Щербина).

Щéркъ, *Πολων.* καὶ *Βμ.* Штѣрк [κάχληξ, τὸ λτ. glarea· καὶ χάληξ, ὅθεν τὸ calx, calculus, καὶ κόχλαξ, κος, Σ. χοχλάκα ἐκ τῶ κόχλος, ἀντὶ κόχολος (= Цóколь, ὅθεν παρ' ἄλλοις τὸ Σ. τζαγίλι), κόγχλος, κόγχυλος, ὀγγύλος], συγγ. σκερὸς (σκέραξ, Щéркъ), σκίῤῥος (=ξερὸς, ξηρὸς, σχερὸς, χέῤῥος)· τὸ θέμα χάρω, κάρω, κέρω, ὅθεν κέρχω, κτλ. ἡ ἰδέα ἐμφαίνει τραχύτητα· ὅθεν καὶ τραχέων σωμάτων ἦχον τεμνομένων, κτλ. (βλ. 'Ρεἰμ. λ. χαράσσω)· βλ. καὶ Шéрсть, καὶ Хрáщъ.

Щéть, Щетúна (*χοίρου θρὶξ*), *ἐκ=σκύτα, σκυτίνη*(*βλ.* Чупрýнъ)· *ἀλλὰ μᾶλλον=λτ.* seta, *χαῖτα, χαίτη* (*ὡς χάληξ, χάλιξ*, silix), *'Ισπ.* seda, *Γλ.* soje (de porc), etc. (*μετὰ τȣ̃ πνεύμ. σ, σ-χαίτα, σχ = σκ =* щ).

Щечý, -щúть (*κλέπτω, ὑφαιροῦμαι*) *σχέζω, σχέδω, σχέθω* (*κρατῶ*). *ἢ σχάζω, σχέζω= σχίζω* (*χάω, χάδω, χάω, κάω, κύω, κύθω. βλ.* Хúщу).

Щù (*ζωμὸς κράμβης, τῆς Σ. ἀρμιᾶς, ἐκ τȣ̃ ἅλμη*)=(*ὁ*)*στζὺ*, (*ὁ*)*σκὺ = ὀξὺ, ὀξὺς* (кис-, скис, ски, ск = щ), *βλ.* Кúслый.

Щúкаю (*ἀπομύττω τὸν λύχνον=Γλ.* moucher, *συνήθ. ξεφτιλίζω, καὶ κωμικῶς, ξεμυξιάζω· ὡς ἐκ τȣ̃* Щúку), *ψίχω, ψέχω* (*ψ = σκ, κσ, ὡς, ψάω, ξάω, σκάω*), *καὶ ψήχω* (*κόπτω, τρίβω, ὡς καὶ Σ. κόψε τὸ φιτίλι*).

Щиплю́ [*κολάπτω, ἐπὶ πτηνῶν· 2, τίλλω, ἐκλέπω, δρυμάσσω, Σρβ.* Шпинáти (*βλ.* Щавéль) *ὡς ἐκ τȣ̃* Щипý] *τσύπω, πῶ, συνήθ. τσυμπῶ=στύπω, τύπω, τύμπω* (*ὅθεν τύπανον, καὶ τύμπανον μετὰ τȣ̃ ϛομφάζοντος μ*), *τύπτω· ὡς καὶ ϛυπάζω* (*ϛυπίζω*) *συνήθ. ϛȣμπίζω, κτλ. ἔϛι δὲ τὸ τ καὶ στ = σ = τζ* (*στζ!*), *ὅθεν καὶ ἄλλα τῆς Σ. πολλά, καὶ τῶν Βυζαντίων τὸ τσυμπλίδα* (*σπινθὴρ*)*=ϛυμφαλὶς, -λίδα ἀντὶ ϛυφλὴ* (*ἐκ τȣ̃ ϛύφω = θλίβω· ὡς καὶ ϛράγγω, ϛράγξ*), *ϛυφλὸς = ϛυφελὸς* (*ϛυφὸς, πεπυκασμένος, σκληρὸς*), *βλ.* Кро́пля· [*τὸ δὲ τύ-*

πω = δύπω, δάπω, Дýпу (βλ. Дупло̀), δέπω, δάπτω (δαρδάπτω)· καὶ ὁ τύπος = κτύπος = δόπος, τόπος, δέπος, κτλ. βλ. ʽΡεὶμ. λ. ϛυπάζω καὶ δάπτω]. Щипéчъ (ῥύγχος), καὶ πληθ. Щипцы́, τὸ συνήθ. (τσυμπὶ) τσυμπίδιον [= λαβὶς, οἷον πυράγρα, ὀδοντάγρα, ἡλάγρα, κτλ. Γλ. pincettes, ἐκ τȣ̃ pincer (τσυμπω̃), συγγεν. pingo, pango (πήγγω, πάγγω), πήγω, πάγω, πήγνυμι]. Щипцѝ καὶ αἱ χηλαὶ τȣ̃ καρκίνȣ, μεταφορ. διὰ τὴν ὁμοιότητα (ὅθεν καὶ „πυραγρέτης καρκῖνος = πυράγρα·ʼΕπίγρ.). τὸ δὲ Κρτ. Щепцѝ = δάκτυλα, ἄρθρα. [ὅτι καὶ τὸ λτ. forceps, forcipes (χηλὴ, καὶ ψαλὶς, καὶ ἡ λαβὶς, κυρίως ἡ πυράγρα), ἐκ τȣ̃ ἀρχ. formucapes (formus, capio), οἷον, φερμο-κάπτης (φέρμὸς = θερμὸς, θερμὸν, ἀντὶ πῦρ. οὕτω καὶ νῦν τὸ πῦρ ὡς ἐκ τῆς ἐνεργείας καλεῖται ἔϛιν ἧ τῆς ʽΕλλάδος, λαμπρὸν, καὶ παρὰ τοῖς Ποντικοῖς, ἄψιμον, συνηθέϛερον δὲ, φωτία. βλ. Ýгль]. βλ. καὶ Щепóть.

Щи́рый (γνήσιος) κύριος? (genuinus, proprius) Πολ. czzéry, szczyrny (ἀντὶ Чи́рый? ὡς, Щýдо = Чýдо).

Щи́тъ (ἀσπὶς, θυρεὸς), σκῦτος, λτ. scutum, καὶ scutarium, συνήθ. σκȣτάρι (ἐκ τȣ̃ σκύτος, καὶ τὸ συνήθ. σκουτίον)· τὸ δὲ σκύτος (= δέρμα), ὡς τὸ βῶς, βοῦς, ῥινὸς = ἐκ βοείȣ δέρματος ἀσπὶς (ʽΟμ.)· ὅθεν Защищáю (щищáю) = ὑπερασπίζομαι (ζα-σκυτόω=

σκύτει, δορᾷ καλύπτω). βλ. Тáрчъ, καὶ Джйдъ.

Щóлокъ, Щéлокъ (κονία, ςακτὴ κονία, ῥύμμα)=σδόλος, ζόλος, ψόλος (ο = ε), σβόλος, ἄσβολος. συγγεν Золà (ὡς, σδόλος = σβόλος, ἄσβολος, ἀσβόλη). βλ. καὶ Спýдъ.

Щỳ = Счỳ (βλ. Сéчъ, ὃ συγκέκοπται ἐκ τῦ Сечỳ, καὶ τῦτο παρὰ τὸ ἄῤῥητον Сею, с=χ, χέω (χύω. Ἴσως δὲ καὶ τὸ Сырь, Сыростъ (ὑγρασία, νοτίς), ὡς ἐκ τῦ ἀῤῥήτυ Сыру, Сыю = χύω, χύσω, σ = ρ, χύσις (ὡς καὶ τὸ νοτίς ἐκ τῦ νέω, νείζω, νίζω, νίγω, νίφω, ningo)· ὅτως ἐκ τῦ ἀῤῥήτυ сею, -рỳ καὶ τὸ κακέμφατον Срỳ (χέσ. σ = ρ)· πρβλ. τὸ Τυρκ. schitzmek.

Щýдо (τέρας) = Чýдо· ὅτω καὶ Щýю (ὅθεν Щýдь (αἴσθησις καὶ ἦθος, τρόπος, φύσις) = Чýю, Чýвствую.

Щýпаю (ἐφάπτομαι, ψαθάλλω, βλιμάζω ὄρνιν· καὶ Щýпъ = καθετὴρ πρὸς τὸ ἐσμάσσεσθαι καὶ ἐσαφᾶσθαι ἐπιτήδειος. ὡς ἐκ τῦ Щýпу) ἴσως, ψύφω=ψέφω, ψάφω, ψαύω, καὶ (φ = χ), συνήθ. ψάχω, ψάχνω (ὡς καὶ ψήχω). τὸ Γρμ. schuppen (τρίβειν)= ψέφειν = ψώχειν (ψ = σκ. βλ. Щикаю). ἢ γῦν πιθανώτερ. καὶ Щýпаю, συγγεν. Щиплю.

Щýрю (καμμύω). Щýрюся (ἰλλώπτω)=σκύρω (ὅθεν σκυρθάνιος) = σκάρω, ὅθεν σκάρδω, ὅθεν (σκαρδαμὺς), σκαρδαμύσσω = καμμύω.

* *

Ъ, Ы, Ь.

Περὶ τῶν τριῶν τετωνὶ γραμμάτων εἴπομεν ἐν τοῖς ἔμπροσθεν (βλ. Μέρ. Α. 'Αλφάβητ. καὶ περὶ 'Ονόματ. σελ. 114), λέγομεν δὲ καὶ ἤδη ἐκτενέστερον. 'Αμφότερα τοίνυν τὰ τελικὰ ἡμίφωνα τό, τε Ъ (ερъ, Jerr, *γιέῤῥ*), *καὶ τὸ* Ь (ерь, Jer', *γιέρ'*), *οὐδὲν ἄλλο μοι δοκεῖ ἢ αὐτὸ τὸ φωνῆεν Ε, συνημμένας ἔχον τὰς πλαγίας (τήν τε μέσην καὶ τὴν κάτω), καὶ ἀπεστραμμένην μὲν τὴν ἄνω ἐν τῷ* Ъ, *ἀποτετμημένην δὲ παντάπασιν ἐν τῷ* Ь. *Εὑρίσκεται δὲ δήπου καὶ ἐν 'Ελληνικοῖς χειρογράφοις (τοῖς ἀπὸ τῦ* Ε *αἰῶνος καὶ ἐφεξῆς) ϐ = ε (ὅθεν καὶ τὴν ευ δίφθογγον γράφομεν καὶ ἤδη ϐ), καὶ αὐτὸ δὲ τὸ λτ.* є *πέπλασται ὡσαύτως ἐκ τῆς ἄνω πρὸς τὴν μέσην πλαγίαν συγκεκλασμένης· μαρτυρεῖ δὲ τύτοις καὶ τὸ* Ѣ, *ὅ, γε καὶ αὐτὸ μεμόρφωται ἐκ τῦ* Ε (*βλ.* Ѣ). *Πάντων δὲ μέγιστον τεκμήριον τόδε ἐστί· τὰ γὰρ* Ъ, *καὶ* Ь *ἐν τέλει λέξεων ἀναπληρῦσι τὸν τόπον τῦ Γαλλικῦ ἡμιφώνυ* e· *οἷον τὰ Γαλλιστὶ γραφόμενα* trône, trope, polype, dôme, *κτλ. οὐκ ἄλλως, ἢ* Тронъ, Тропъ, Полипъ, Домъ, *καὶ προφέρυσι καὶ γράφυσιν οἵτε 'Ρῶσσοι καὶ οἱ ἄλλοι Σλάβονες (οἱ χρώμενοι γράμμασι Σλαβονικοῖς), ἀντὶ τῶν, δόμος, θρόνος, τρόπος, πο-*

λῦπος (πολύπες), ὡς καὶ λτ. thronus, domus, tropus, κτλ. Ἰταλιςὶ δὲ trono, tropo(u=o). τὸ δὲ Γαλλικὸν e αὐτό πε ἐςι τὸ τῆς Ἑλληνικῆς κλητικῆς ε (θρόνε, τρόπε), ἐκ τε̃ ο τῆς ὀνομαςικῆς μεταπλασθὲν (τρόπο-ς, κτλ.)· καὶ τὸ e δὲ, τὸ τῶν Λατινικῶν καὶ Σλαβονικῶν ἐδετέρων ληκτικὸν, ἀντιςοιχεῖ πρὸς τὸ τῶν ἑλληνικῶν ο (βλ. Тόй). Καὶ μὴν καὶ ἐν μέσῳ πολλῶν λέξεων τῆς ἀρχαίας Σλαβονικῆς εὕρηται προφανῶς τὸ μὲν Ђ ἀντὶ τε̃ e, οἷον, Оцьпть, ἀντὶ Оцепъ, Дьнь=Дéнь, κτλ. καὶ ἐν ἀρχαίοις κώδηξιν ь=ѣ (=e), οἷον Свьшіпь-ся ἀντὶ Свѣпшшься (βλ. Δοβρόβ. σελ. 72). τὸ δὲ Ђ ἀντὶ ο, οἷον, плъпь = плошь, пъщъ = пощъ, пълнъ = полнъ (ὡς καὶ съ, въ = со, во), κτλ. ἔςι δὲ δῆπε συνηθεςάτη ἡ τε̃ ε εἰς ο μεταβολὴ, καθὰ δὴ καὶ εἰς ι (εἴ γε τὸ ε ἀρχαίως ἐξεφωνεῖτο καὶ ει, ἡ δὲ ει=ι μακρῷ)· ὅθεν καὶ τὸ ἀρχαῖον есми, καὶ есмы, есме, есмо, (πληθυντικὸν τε̃ α προσώπε)=есмъ= ἐσμεί(ν), ἐσμέ(ν). καὶ πάντα δὲ τὰ πρῶτα πληθυντικὰ [πρόσωπα λήγεσιν εἰς мъ = με(ν). τὰ δὲ τρίτα εἰς пъ = τι (τὸ δὲ πάλαι εἰς шь. βλ. Δοβρόβ. σελ. 19)· ὥςε τὸ Ђ ἐκφράζει τό, τε ι, καὶ τὸ ε, καὶ ο· ἀλλὰ καὶ τὸ Ь=ι, οἷον, есмь=ἐσμὶ, καὶ τὰ εἰς ши Σλαβονιςὶ δευτεροπρόσωπα ῥωσσικῶς λήγεσιν εἰς шь, καὶ τὰ ἀπαρέμφατα εἰς шь ἀντὶ ши· καὶ ἐν μέσῳ δὲ τῶν λέξεων ἀντικαθι-

ςάσιν οἱ Ῥῶσσοι τὸ ь, ἀντὶ i, οἷον, бью = бію, пью = пію, κτλ. Τούτων ὅτως ἐχόντων, πρόδηλον ἄρα ὅτι καὶ τὸ φωνῆεν Ы (τὸ δ' ἀρχαῖον ἐγράφετο ЪI), σύνθετόν ἐςιν ἔκ τε τῦ Ъ, ἢ Ь = ε, καὶ τῦ I = ι, ἤτοι αὐτή ἐςιν ἡ Ἑλληνικὴ δίφθογγος ΕΙ, καὶ ταύτην ἔχει κυρίως δίφθογγον ἡ Σλαβονικὴ μετὰ τῶν Ἑλληνικῶν ου (оу), καὶ αυ, καὶ ευ ὡς προείπομεν (βλ. Ἀλφάβητ. βλ. καὶ ἐφεξῆς τὸ τοιχεῖον Ѣ). Προφέρεται δὲ τὸ ςοιχεῖον Ы παρὰ τοῖς Σλάβοσι παχυςομώτερον, κάτω πρὸς τὴν βάσιν τῆς γλώσσης ἐρεῖδον τὸν ἦχον, ὡς ἔγγιςα τῦ ἑλληνικῦ η (βλ. τὸ ἡμέτερ. σύνταγμ. περὶ τῆς τῶν ἑλλην. γραμμ. προφορᾶς), ᾧ καὶ πολλάκις ἀντιςοιχεῖ (ὡς Монастырь = μοναςήριον· кыла, καὶ Ῥωσσ. кила = κήλη, κτλ.)· ἔςι γὰρ καὶ τὸ η = ει (ὡς ἠμὶ = εἰμὶ = ἐμὶ, ἐμμὶ, ἐσμὶ, κτλ.)· ἀντιςοιχεῖ δὲ καὶ πρὸς τὴν οι (ὡς καὶ ει= οι, ἐν τοῖς, οἴω = εἴω = ἔω, ἴω, εἶμι κτλ.), καὶ πρὸς τὸ υ (κατὰ διαλέκτες ὡς ἔγγιςα ὁμόφωνον τῇ οι· καὶ Πολωνοὶ δὲ τῷ y χρῶνται ἀντὶ ы)· καὶ πρὸς αὐτό, τέλος, τὸ ἁπλῦν ι (βλ. Δοβρόβ. σελ. 23)· πολλαὶ γάρ εἰσι τροπαὶ τῦ ι περὶ τὴν προφορὰν, κατὰ τὴν τῦ ςόματος ἀμέλει τοι διάπλασιν καὶ τὸν σχηματισμὸν τῆς φωνῆς ἑτεροιυμένυ, καὶ ἁδρότερον ἢ λεπτότερον ἢ μέσως πως ἀπηχῦντος τῦ φθόγγυ, ὡς δέδεικται διὰ μακρῶν ἐν τῷ περὶ

προφορᾶς. Ἐπεὶ τοίνυν τὸ Ѣ = ο, ἐντεῦθεν καὶ ἡ τῦτυ παχυτέρα προφορὰ, ὡς ἡμίσεια δηλονότι τῆς τῦ διογκῦντος τὸ ςόμα ο, λεπτοτέρα δὲ ἡ τῦ Ь, καὶ ὡς ἔγγιςα τῆς τῦ ι συγγενῦς τῦ ει = ε. Καὶ ἔςιν ἄρα τὸ Ѣ ἐν ταῖς ληγέσαις τῶν ὀνομάτων ἀντίςοιχον πολλάκις πρὸς τὸ ἑλληνικὸν ο· οἷον, объ = ἀπὸ (ὀπὸ), азъ = ἀζὸ (ἀντὶ ἀγὸ, ἀγῶ = ἐγώ), бéзъ = Ϝέξω, дóмъ, δόμο-ς, пóтъ = πότο-ς· прóстъ, πρόσθο-ς, сы́нъ, σ-ῖνο-ς, прáвъ, πρᾶϜο-ς, пря́мъ, πράμο-ς (πρόμος), κτλ. Ἴσως δὲ τὸ πάλαι καὶ τορώτερον ἐξεφωνεῖτο τὸ νῦν ἡμιφωνέμενόν πως τῦτο ъ = ο, ὅθεν ἔμεινεν ἐν τοῖς Σλαβονικοῖς ὑδετέροις τέλειον τὸ ο (просто, прямо, κτλ. καὶ ὅσα τοιαῦτα, οὐδὲν ἀλλ' ἢ τὰ ἑλληνικὰ ὄντα ὑδέτερα εἰς ο, οἷον πρόμον, πρόσθον, χωρὶς τῦ ληκτικῦ συμφώνυ)· τὸ δὲ ь = ι, ὡς, éсмь, ἐσμὶ, éсть, ἐςὶ, Гóсть = λτ. hosti-s (βλ. Странà), óгнь = igni-s, Смéрть = morti-s, mors (μόρος), Дáждь = Дáди = δάθι, δόθι (οὕτω καὶ τὰ βαρύτονα καὶ πάντα τὰ δευτεροπρόσωπα τῆς Ῥωσσικῆς προςακτικὰ προηγυμένυ συμφώνυ λήγυσιν εἰς ь, ἀντὶ τῶν εἰς и Σλαβονικῶν· βλ. καὶ ἀνωτέρω)· καὶ πρὸς τὸ ε δὲ ἀντιςοιχεῖ τὸ Ь (ὡς καὶ τὸ Ѣ), οἷον Пя́ть = πάτε (πάντε, ἀντὶ πέντε)· Сéдмь = σ-έ(β)δεμ, λτ. septem, κτλ. ἀλλὰ καὶ η = ь, ἐν τοῖς, Пя́дь, πάδη (παδή,

σπαδή, σπιδή), Во́пль (Во́пь) Ϝοπὴ (ὀμφή)· κτλ. διὸ καὶ πάντα τὰ θηλυκὰ λήγουσιν εἰς Ь, ἡμὲν τοι χρῆσις τῆς γλώσσης διέκρινε καὶ τὴν θέσιν τουτωνὶ τῶν στοιχείων, καὶ τὴν εἰς ἄλληλα κατὰ διαλέκτους μεταβολὴν, ὡς ἀπαιτεῖ ὁ τῶν λέξεων κατὰ Σλάβονας σχηματισμὸς, περὶ οὗ διαλαμβάνουσιν οἱ γραμματικοί· ἡμῖν δὲ περί τε γενέσεως καὶ δυνάμεως τῶν στοιχείων καὶ, πρὸς τίνα δὴ τῶν Ἑλληνικῶν ἀναλογοῦσι, προὔκειτο λέγειν· καὶ εἴρηται τὰ δοκοῦντα. Τί δὲ καὶ βουλόμενος ὁ τοῦ Σλαβονικοῦ Ἀλφαβήτου πατὴρ ерь, καὶ ерь, ὠνόμασε τὰ γράμματα; ἁπλοῦς ὁ λόγος, καὶ δῆλος τῷ ἐπιστήσαντι. τὸ γὰρ Ε μεταπλασθὲν εἰς τὰ Ъ καὶ Ь ἀντίστροφον ἀποβέβηκε Ρ (ῥῶ), ὅ περ οἱ Λατῖνοι λέγουσιν ere, ἢ er, err' (ἔρε, ἔρ) = ерь, ерь· καὶ ἔστιν ἄρα τοὔνομα τοῖς στοιχείοις δήλωσις οὐ τοῦ φθόγγου ἀλλὰ τῆς μορφῆς (ᾗ δὴ καὶ τὸ ἀρχαῖον Κόππα, q, ἀντιῤῥῶ ὡς ἐκ τοῦ σχήματος ὠνόμασται (βλ. Μοντεφαυκῶνο [Montfaucon] παλαιογραφ. σελ. 132)· ὅθεν οὐδὲν δεῖ ταῦτά γε τὰ στοιχεῖα οὔτε τῶν Ἀρμενίων οὔτ' ἄλλου τινὸς ἔθνους ἀναδιφῶντας τοὺς ἀλφαβήτους ἐπιζητεῖν (βλ. εἰσαγωγ. § α, καὶ σελ. 114, Μέρ. Α). οὐδέ μην τὴν τούτων δύναμιν πρὸς τὸ ἑβραϊκὸν cheva ἀπεικάζειν· ἅλις γὰρ, οἶμαι, σαφῶς καὶ ἀναμφηρίστως ἥ τε φύσις αὐτῶν καὶ ἡ μορφὴ ἐκ τῶν Ἑλλη-

νικῶν γραμμάτων ἀποδείκνυται. Ἀλλὰ καὶ τὸ ὑποκοριςικῶς λεγόμενον ἐῤῥίκιον (ерикъ, Jerrik), ὃ γράφεται παρά τισιν ἀντὶ τȣ̃ Ъ, ἐξ αὐτȣ̃ δὴ τȣ́τȣ καὶ συνετμήθη, προσγραφόμενον μὲν ἐκ, ἐπιγραφόμενον δὲ τοῖς συμφώνοις ἐπιτομῆς καὶ ςενογραφίας χάριν, οἷον к^{s}, в^{s}, с^{s} = къ, въ, съ = во, ко, со, κτλ. καὶ τὸ ἀπηρχαιωμένον δὲ ἤδη ἐπιέῤῥικον (pajerk) ˆ ἐπετίθετο ἐν εἴδει προσῳδίας ἀντὶ τȣ̃ ь, οἷον персm̃ = перстъ, κτλ. (βλ. Δοβρόβ. σελ. 21). βλ. καὶ Ѣ, Ю, Я.

Ѣ, Ѥ.

Ѣ, Ѣ, ѣ (Ять = Jat', ἰάτ', ἢ γιάτ') = αι, ε, καὶ = я = α· τὸ δὲ Ѥ (Je, ἰέ) = ε. Καὶ τὸ Ѣ τοίνυν ȣ̓ τὸ Ἀρμενικὸν ietch, ἀλλ' αὐτό ἐςι τὸ φωνῆεν Ε μεταπλασθὲν μὲν πρῶτον ὡς τὸ Ь (βλ. ἀνωτέρω Ъ, Ь), εἶτα δὲ διαπερονηθὲν τὴν κάθετον διὰ τῆς κεραίας, ἢ τις ȣ̓δὲν ἀλλ' ἢ τὸ Ι (ἰῶτα) ἐγκάρσιόν ἐςιν, ὡς ὁρᾶται σαφῶς παριςάμενον ὄρθιον ἐκ πλαγίων ἐν τῷ τȣ̃ Ѣ ἰσοδυνάμῳ Ѥ (μηδὲν ἐκείνȣ διαφέροντι, ἢ ὅτι τὸ μὲν Ѣ τὸ πάλαι μόνον ἐγράφετο μετὰ σύμφωνον, τὸ δὲ Ѥ ἐν ἀρχῇ λέξεων καὶ συλλαβῶν;

ἀνθ' ȣ̓ καὶ Ѥ *μόνον ἔγραψαν ἐπιτομώτερον οἱ νεώτεροι)· ἐκ δὲ τȣ̃* Ѥ *πέπλαςαι καὶ τὸ κατὰ τὴν κοινὴν τῶν 'Ρώσσων γραφὴν εἰθισμένον* ІѢ *ἀντὶ* Ѣ. *Ὄνομα μὲν τοίνυν τῷ ςοιχείῳ* Ятъ, *ἀντὶ* Ѥтъ (*μεταβάλλονται γὰρ εἰς ἄλληλα τὰ* Я, *καὶ* Ѣ, *ὥςτὸ α καὶ ε. βλ.* Ѣчáн), *ὁ δὲ φθόγγος, ε συναλειφόμενον μετὰ τȣ̃ προηγȣμένȣ ἰῶτα, ὅπερ ἐν ἀρχῇ λέξεως ἢ καὶ φωνήεντος ἡγȣμένȣ φύσιν συμφώνȣ μεταλαμβάνει, ὡς τὸ λατινικὸν* J *πρὸ τῶν φωνηέντων* a, e, o, u, *οἷον* Janus, Jovis (*βλ. λ.* Дéнь *καὶ Μέρ. Α. 'Αλφαβητ. γράμ.* щ), Julius, Jecur (*ἰ-ῆκορ, ἰ-ῆκαρ, κ=π, = ἧπαρ*), *ὡσαύτως προφέρονται καὶ τὰ Σλαβονικὰ* Я, Ю (= *ια, ιȣ, καὶ για, γιȣ,* Ja, Ju. *βλ. ἐφεξῆς τὰ ςοιχεῖα*). *Φαίνεται δὲ τὸ τοιȣ̃τον ι πνευματισμȣ̃ τι εἶδος εὐφωνικȣ̃, ἧπερ ἔξεςι συμβαλεῖν ἐκ τῶν ἑλληνικῶν, ἰάω (ἐκ τȣ̃ ἄω), ἰαύω (αὔω), ἰῶλκα (ὦλκα), κτλ. (καὶ Ἄραβες δὲ καὶ Τȣ̃ρκοι προςιθέασι τοιȣ̃τό τι ἰῶτα καὶ μάλιςα πρὸ τȣ̃ σ, ὅθεν εἶπον καὶ τὴν καλλίςην Σμύρνην,* Ismir, *καθὰ καὶ τὸν Σπεῖρον,* Ispir, *κτλ. τὴν δὲ Κῶν, ἀκȣ́οντες παρὰ τῶν 'Ελλήνων μετὰ τῆς προθέσεως συνημμένην εἰς τὴν Κῶ ἐκάλεσαν* Istankioi, *καὶ ἐκ τȣ̃ εἰς τὴν Πόλιν ἔπλασαν οἱ βάρβαροι τὸ ὄνομα,* Istampol, *καὶ* Stampoul, *ἐκ δὲ τȣ̃, εἰς τὴν Λῆμνον, παρετραύλισαν τὸ* Staliman, *κτλ. Κἀνταῦθα*

θαυμάζειν ἔπεισί μοι τῶν Εὐρωπαίων Γεωγράφων, οἵ γε καὶ αὐτοὶ τοῖς αὐτοῖς ἢ καὶ παραπλησίως παρακεχαραγμένοις ὀνόμασι, πάμπαν ἀξυνέτοις καὶ τοῖς πάλαι καὶ τοῖς νῦν Ἕλλησιν, Ἑλληνικὰς χώρας ἀποκαλῶσι, Stalimene, γράφοντες, καὶ τ' ἄλλα, καὶ Scio τὴν Χίον, καὶ Malvasia, τὴν Μονεμβασίαν, καὶ ἄλλα πολλὰ τοιαῦτα ἐκτραγῳδῶντες· καὶ ταῦτά γε τῶν τινες ἑλληνίζοντες, καὶ τὴν προφορὰν τῆς τῶν Ἑλλήνων γλώσσης ἐπανορθώμενοι κατὰ τὰς φιλολογικὰς ἄξονας τῶ Ἐράσμȣ! καὶ τάδε μὲν λόγȣ πάρεργον εἰρήσθω)· τὸ δ' οὖν προτιθέμενον ἰῶτα ἐν μὲν τοῖς Ἑλληνικοῖς ὀνόμασι προφέρεται καθαρὸν καὶ διῃρημένον καὶ ἀσυναίρετον πρὸς τὸ ἑπόμενον φωνῆεν, ἐν δὲ τοῖς Σλαβονικοῖς ІЕ καὶ Я, καὶ Ю, ἤτοι συνεκφωνεῖται κατὰ συνίζησιν, ἢ καὶ συναλείφεται ὑγρότερον μετὰ τῶ ἐφεξῆς φωνήεντος, καὶ ἀπηχεῖ συμφωνικώτερον ὡς γ (ὅπερ ἔφθημεν εἰπόντες), κατὰ τὸ λατινικὸν J. λεπτὸς γὰρ ὢν ὁ φθόγγος ὁ τῶ ι συντήκεται ῥᾷςα καὶ συμφθείρεται εἰς μίαν συλλαβὴν πρὸς τὸ ἑπόμενον φωνῆεν α, ε, ο, ω, ȣ (ἃ δὴ πάντα, τὰ μὲν μᾶλλον τὰ δὲ καὶ ἧττον, μεγαλοφωνότερα τῶ ἰῶτά ἐςι), καὶ μάλιςα ὅταν ἐπιτροχάδην ἐκφωνῆται. Διὰ ταῦτα καὶ τῆς Ἑλλάδος πολλαχȣ̃ οἱ χυδαιότατοι προφέρȣσιν ἐνίοτε τό, τε ε καὶ τὸ ιε, ὡς Je, γιε (ІЕ, Ѣ), οἷον, γυιὲ = υἱέ,

καὶ ἐκ τῦ Ὄλυμπος, καὶ Ἔλυμπος (ο = ι) προσθέμενοι τὸ πνευματιςικὸν ἰῶτα ἔπλασαν τὸ Ἰέλυμπος ἢ Γιέλυμπος· καὶ τὸ γεράνεος εἶπον, γιερανιὸς· καὶ τὸ ιον, ειον δὲ προφέρεσιν ὡς γιὸν (χωριὸν, πλυςαρειὸν), καὶ τὸ ε ὡς τὸ Ῥωσ. ё, οἷον, γιόμα (ἐκ τῦ γόμα ἀντὶ γέμα, τὸ γεῦμα), καὶ γιομόζω (γομόζω, ἀντὶ γεμόζω = γεμίζω), καὶ νιόμα ἐκ τῦ νέμα (νεῦμα), κτλ. καὶ, τὸ ια δὲ συγκιρνῶσι κατὰ συνίζησιν εἰς ιὰ, Fιὰ (Я), οἷον παιδγιὰ, χωργιὰ· οἱ δ' Ἠπειρῶται λέγεσι καὶ ια ἀντὶ α, οἷον θιάμα, θιαμάζω, ἀντὶ θάμα = θαῦμα, θαυμάζω, ὃ παρὰ τὸ θέαμα [καί τοι γε καὶ τὸ εα συναλοίφεται εἰς εα, ια, για, ὡς, ἀπαριάζω, ἀπαργιάζω = ἀ-παρεάζω (μετὰ τῦ εὐφωνικῦ α) = παρεάω (ἰάω καὶ ἰάζω, ὡς, πιάω καὶ πιάζω)· ἀπαγκιάζομαι = ἀπαντιάζομαι (κ = τ) = ἀπαντίον ἵςαμαι, φυλάττομαι, κτλ.]. καὶ τὸ ιυ δὲ ἐκφέρεσιν γιῦ, ἢ Ju (ю), παιδγιῦ, χωργιῦ· τὸ δὲ υ, ιυ, Γιύρα λέγοντες τὰ Γύαρα (συγκοπ. Γύρα, καὶ υ = υ, Γύρα), καὶ κιυρὸν οἱ Χῖοι τὴν κυρὰν (υ = υ, κυρὰν, συγκοπῆ ἐκ τῦ κυρία = κυρία. βλ. καὶ Ю). Καὶ τὰς ιυ, δὲ καὶ ιο, καὶ ια, συλλαβὰς συναιρῦσιν ὑγρότερον εἰς μίαν, ὡς, Γιύδας (Judas = Ἰύδας), Γιορδάνης (Ἰορδάνης), Γεώργης, Γεώργος (Γεώργιος), Γιάννης, Γιαννάκης, Γιάγκος (Ἰάννης, ἀντὶ Ἰωάννης, Ἰωαννά-

